life presently indeed very he-will-tell with-ringing the voice at which
ἔγωγ' ἀποπνίγομαι. οὐκ ἴσασιν οὗτοι τὸ μὲν ἐξ ἀρχῆς τὰς
I-at-least choke not know these the indeed from the-beginning the
βίβλους ἀναγιγνώσκοντά σε τῇ μητρὶ τελούσῃ, καὶ
books reading-aloud you for-the mother performing-initiations and
παῖδ' ὄντ' ἐν θιάσοις καὶ μεθύουσιν ἀνθρώποις καλινδούμενον;
a-boy being in revel-bands and drunken men rolling-about
200 μετὰ ταῦτα δὲ ταῖς ἀρχαῖς ὑπογραμματεύοντα καὶ
after these-things and for-the magistrates serving-as-under-clerk and
δυοῖν ἢ τριῶν δραχμῶν πονηρὸν ὄντα; τὰ τελευταῖα δ'
for-two or three drachmas a-knave being the last and
ἔναγχος ἐν χορηγίοις ἀλλοτρίοις ἐπὶ τῷ τριταγωνιστεῖν
lately in choral-houses of-others on the playing-third-parts
ἀγαπητῶς παρατρεφόμενον; ποῖον οὖν ἐρεῖς βίον; ὃν
contentedly being-fed-at-the-side what-sort then will-you-tell life which

ποῦ βεβίωκας; ἐπεὶ ὅ γε βεβιωμένος σοι τοιοῦτος
where have-you-lived since the at-least having-been-lived by-you such
φαίνεται. ἀλλὰ δὴ τὰ τῆς ἐξουσίας· οὗτος ἄλλον
appears but indeed the-things of-the license this-man another
ἔκρινε παρ᾽ ὑμῖν ἐπὶ πορνείᾳ. ἀλλὰ μήπω ταῦτα, ἀλλὰ
prosecuted before you for prostitution but not-yet these-things but
τὰς μαρτυρίας μοι λέγε πρῶτον ταυτασί.
the testimonies for-me read first these-here
τοσούτων τοίνυν καὶ τοιούτων ὄντων, ὦ ἄνδρες δικασταί, 201
so-many then and such being O men jurors
ὧν ἀδικῶν ὑμᾶς ἐξελήλεγκται, ἐν οἷς τί κακὸν οὐκ
in-which wronging you he-has-been-convicted in which what evil not
ἔνι; δωροδόκος, κόλαξ, ταῖς ἀραῖς ἔνοχος, ψεύστης, τῶν
is-in-it bribe-taker flatterer to-the curses liable liar of-the
φίλων προδότης, πάντ᾽ ἔνεστι τὰ δεινότατα· πρὸς ἓν
friends betrayer all are-in-it the most-terrible-things to one
οὐδ᾽ ὁτιοῦν τούτων ἀπολογήσεται, οὐδ᾽ ἕξει
not-even anything-whatever of-these he-will-defend-himself nor he-will-be-able
δικαίαν οὐδ᾽ ἁπλῆν εἰπεῖν ἀπολογίαν οὐδεμίαν. ἃ δ᾽
just nor straightforward to-speak defense any what but
ἐγὼ πέπυσμαι μέλλειν αὐτὸν λέγειν, ἔστι μὲν ἐγγυτάτω
I have-learned to-intend him to-say is indeed nearest
μανίας, οὐ μὴν ἀλλ᾽ ἴσως τῷ μηδὲν ἔχοντι δίκαιον
to-madness not however but perhaps for-the-one nothing having just
ἄλλ᾽ εἰπεῖν ἀνάγκη πάντα μηχανᾶσθαι.
other to-say necessary all-things to-contrive
ἀκούω γὰρ αὐτὸν ἐρεῖν ὡς ἄρ᾽ ἐγὼ πάντων 202
I-hear for him to-be-going-to-say that after-all I of-all
ὧν κατηγορῶ κοινωνὸς γέγονα, καὶ συνήρεσκε ταῦτά
which I-accuse partner have-been and pleased-too these-things
μοι καὶ συνέπραττον αὐτῷ, ἔπειτ᾽ ἐξαίφνης μεταβέβλημαι
me and I-cooperated with-him then suddenly I-have-changed-sides

καὶ κατηγορῶ. ἔστι δ' ὑπὲρ μὲν τῶν πεπραγμένων
and accuse is but for indeed the things-done
οὔτε δικαία οὔτε προσήκουσ' ἡ τοιαύτη ἀπολογία, ἐμοῦ
neither just nor fitting the such defense of-me
μέντοι τις κατηγορία· ἐγὼ μὲν γάρ, εἰ ταῦτα πεποίηκα,
however some accusation I indeed for if these-things I-have-done
φαῦλός εἰμ' ἄνθρωπος, τὰ δὲ πράγματ' οὐδὲν βελτίω
worthless am a-man the but affairs nothing better
διὰ τοῦτο, οὐδὲ πολλοῦ δεῖ.
because-of this nor much is-lacking
203 οὐ μὴν ἀλλ' ἔγωγ' οἶμαί μοι προσήκειν ἀμφότερ'
not however but I-at-least think for-me to-be-fitting both
ὑμῖν ἐπιδεῖξαι, καὶ ὅτι ψεύσεται, ταῦτ' ἐὰν λέγῃ, καὶ
to-you to-show both that he-will-lie these-things if he-says and
τὴν δικαίαν ἥτις ἐστὶν ἀπολογία. ἡ μὲν τοίνυν δικαία
the just what is defense the indeed then just
καὶ ἁπλῆ, ἢ ὡς οὐ πέπρακται τὰ κατηγορημένα
and straightforward either that not have-been-done the things-charged
δεῖξαι, ἢ ὡς πεπραγμένα συμφέρει τῇ πόλει. τούτων δ'
to-show or that having-been-done they-benefit the city of-these but
οὐδέτερον δύναιτ' ἂν οὗτος ποιῆσαι.
neither could — this-man do
204 οὔτε γὰρ ὡς συμφέρει δήπου Φωκέας ἀπολωλέναι καὶ
neither for that it-benefits surely Phocians to-have-perished and
Πύλας Φίλιππον ἔχειν καὶ Θηβαίους ἰσχύειν καὶ ἐν
Pylae Philip to-hold and Thebans to-be-strong and in
Εὐβοίᾳ στρατιώτας εἶναι καὶ Μεγάροις ἐπιβουλεύειν καὶ
Euboea soldiers to-be and against-Megara to-plot and
ἀνώμοτον εἶναι τὴν εἰρήνην, ἔνεστι λέγειν αὐτῷ, οἷς
unsworn to-be the peace it-is-possible to-say for-him to-which
τότ' ἐναντί' ἀπήγγειλε πρὸς ὑμᾶς ὡς συμφέροντα καὶ
then opposite-things he-reported to you as advantageous and

γενησόμενα· οὔθ' ὡς οὐ πέπρακται ταῦτα, δυνήσεται
going-to-happen nor that not have-been-done these-things he-will-be-able
πεῖσαι τοὺς αὐτοὺς ἑορακότας ὑμᾶς καὶ εὖ εἰδότας.
to-persuade the-ones yourselves having-seen you and well knowing
οὐκοῦν ὡς οὐ κεκοινώνηκα τούτοις οὐδενός, λοιπόν 205
therefore that not I-have-shared with-these-men in-anything remaining
μοι δεῖξαι. βούλεσθ' οὖν ὑμῖν, πάντα τἄλλ' ἀφείς, ἃ
for-me to-show do-you-wish then to-you all the-rest having-let-go what
παρ' ὑμῖν ἀντεῖπον, ἃ ἐν τῇ ἀποδημίᾳ προσέκρουον, ὡς
before you I-opposed what on the journey I-clashed-over how
ἅπαντα τὸν χρόνον ἠναντίωμαι, αὐτοὺς παράσχωμαι
all the time I-have-opposed them-themselves I-produce
μάρτυρας τούτους ὅτι πάντα τἀναντί' ἐμοὶ καὶ τούτοις
witnesses these-men that all the-opposite by-me and by-these-men
πέπρακται, καὶ χρήμαθ' οὗτοι μὲν ἔχουσιν ἐφ' ὑμῖν,
has-been-done and money these-men indeed have against you
ἐγὼ δ' οὐκ ἠθέλησα λαβεῖν; θεάσασθε δή.
I but not was-willing to-take see indeed
τίνα τῶν ἐν τῇ πόλει φήσαιτ' ἂν βδελυρώτατον εἶναι καὶ 206
whom of-the-ones in the city would-you-say — most-loathsome to-be and
πλείστης ἀναιδείας καὶ ὀλιγωρίας μεστόν; οὐδεὶς οὐδ' ἂν
of-most shamelessness and contempt full no-one not-even —
ἁμαρτὼν ὑμῶν ἄλλον εὖ οἶδ' ὅτι φήσειεν ἢ Φιλοκράτην.
having-erred of-you another well I-know that would-say than Philocrates
τίνα δὲ φθέγγεσθαι μέγιστον ἁπάντων καὶ σαφέστατ' ἂν
whom and to-speak loudest of-all and most-clearly —
εἰπεῖν ὅ τι βούλοιτο τῇ φωνῇ; Αἰσχίνην οἶδ' ὅτι
to-say that which he-might-wish with-the voice Aeschines I-know that
τουτονί. τίνα δ' οὗτοι μὲν ἄτολμον καὶ δειλὸν πρὸς τοὺς
this-here whom and these-men indeed timid and cowardly before the

ὄχλους φασὶν εἶναι, ἐγὼ δ' εὐλαβῆ; ἐμέ· οὐδὲν γὰρ πώποτ'
crowds say to-be I but cautious me in-nothing for ever
οὔτ' ἠνώχλησα οὔτε μὴ βουλομένους ὑμᾶς βεβίασμαι.
either I-troubled nor not wishing you I-have-forced
207 οὐκοῦν ἐν πάσαις ταῖς ἐκκλησίαις, ὁσάκις λόγος γέγονεν
therefore in all the assemblies as-often-as talk has-arisen
περὶ τούτων, καὶ κατηγοροῦντος ἀκούετέ μου καὶ
about these-things both accusing you-hear me and
ἐλέγχοντος ἀεὶ τούτους καὶ λέγοντος ἄντικρυς ὅτι
convicting always these-men and saying outright that
χρήματ' εἰλήφασι καὶ πάντα πεπράκασι τὰ πράγματα
money they-have-taken and all have-sold the affairs
τῆς πόλεως. καὶ τούτων οὐδεὶς πώποτ' ἀκούων ταῦτ'
of-the city and of-these-men no-one ever hearing these-things
ἀντεῖπεν οὐδὲ διῆρε τὸ στόμα, οὐδ' ἔδειξεν ἑαυτόν.
contradicted nor opened the mouth nor showed himself
208 τί ποτ' οὖν ἐστι τὸ αἴτιον ὅτι οἱ βδελυρώτατοι τῶν ἐν
what ever then is the cause that the most-loathsome of-the-ones in
τῇ πόλει καὶ μέγιστον φθεγγόμενοι τοῦ καὶ ἀτολμοτάτου
the city and loudest speaking by-the both most-timid
πάντων ἐμοῦ καὶ οὐδενὸς μεῖζον φθεγγομένου τοσοῦτον
of-all me and than-no-one louder speaking so-much
ἡττῶνται; ὅτι τἀληθὲς ἰσχυρόν, καὶ τοὐναντίον ἀσθενὲς
are-beaten because the-truth is-strong and conversely weak
τὸ συνειδέναι πεπρακόσιν αὑτοῖς τὰ πράγματα. τοῦτο
the consciousness having-sold themselves the affairs this
παραιρεῖται τὴν θρασύτητα τὴν τούτων, τοῦτ' ἀποστρέφει
takes-away the boldness the of-these-men this turns-back
τὴν γλῶτταν, ἐμφράττει τὸ στόμα, ἄγχει, σιωπᾶν ποιεῖ.
the tongue blocks the mouth chokes to-be-silent makes

τὸ τοίνυν τελευταῖον ἴστε δήπου πρώην ἐν Πειραιεῖ, 209
the then last you-know surely lately in Piraeus
ὅτ᾽ αὐτὸν οὐκ εἰᾶτε πρεσβεύειν, βοῶνθ᾽ ὡς εἰσαγγελεῖ
when him not you-allowed to-be-envoy shouting that he-will-impeach
με καὶ γράψεται καὶ ἰοὺ ἰού. καίτοι ταῦτα μέν ἐστι
me and will-indict and oh oh and-yet these-things indeed are
μακρῶν καὶ πολλῶν ἀγώνων καὶ λόγων ἀρχή, ἐκεῖνα
of-long and many trials and speeches the-beginning those
δ᾽ ἁπλᾶ καὶ δύ᾽ ἢ τρί᾽ ἴσως ῥήματα, ἃ κἂν ἐχθὲς
but simple and two or three perhaps words which even yesterday
ἐωνημένος ἄνθρωπος εἰπεῖν ἠδυνήθη, ‘ἄνδρες Ἀθηναῖοι,
bought a-man to-say could-have men Athenians
τουτὶ τὸ πρᾶγμα πάνδεινόν ἐστιν· οὑτοσὶ κατηγορεῖ
this-here the thing all-terrible is this-here accuses
ταῦτ᾽ ἐμοῦ ὢν αὐτὸς κοινωνὸς γέγονε, καὶ χρήματ᾽
these-things of-me of-which himself partner has-been and money
εἰληφέναι φησὶν ἐμέ, αὐτὸς εἰληφὼς ἢ μετειληφώς.᾽
to-have-taken says me himself having-taken or having-shared
τούτων μὲν τοίνυν οὐδὲν εἶπεν οὐδ᾽ ἐφθέγξατο, οὐδ᾽ 210
of-these indeed then nothing he-said nor uttered nor
ἤκουσεν ὑμῶν οὐδείς, ἄλλα δ᾽ ἠπείλει. διὰ τί; ὅτι
heard of-you anyone other-things but he-threatened because-of what because
ταῦτα μὲν αὑτῷ συνῄδει πεπραγμένα, καὶ δοῦλος
these-things indeed with-himself he-knew done and slave
ἦν τῶν ῥημάτων τούτων. οὔκουν προσῄει πρὸς ταῦθ᾽
he-was of-the words these not-therefore approached to these-things
ἡ διάνοια, ἀλλ᾽ ἀνεδύετο· ἐπελαμβάνετο γὰρ αὐτῆς τὸ
the mind but shrank-back took-hold-of for it the
συνειδέναι. λοιδορεῖσθαι δ᾽ ἄλλ᾽ ἄττ᾽ οὐδὲν ἐκώλυεν
consciousness to-rail but other some-things nothing prevented
αὐτὸν οὐδὲ βλασφημεῖν.
him nor to-slander

211 ὃ τοίνυν μέγιστον ἁπάντων, καὶ οὐ λόγος ἀλλ' ἔργον·
what then greatest of-all and not word but deed
βουλομένου γὰρ ἐμοῦ τὰ δίκαια, ὥσπερ ἐπρέσβευσα δίς, οὕτω
wishing for me the just-things as I-went-as-envoy twice so
καὶ λόγον ὑμῖν δοῦναι δίς, προσελθὼν Αἰσχίνης οὑτοσὶ τοῖς
also account to-you to-give twice having-come-forward Aeschines this-here to-the
λογισταῖς ἔχων μάρτυρας πολλοὺς ἀπηγόρευε μὴ καλεῖν
auditors having witnesses many forbade not to-summon
ἔμ' εἰς τὸ δικαστήριον ὡς δεδωκότ' εὐθύνας καὶ οὐκ ὄνθ'
me into the court as having-given audits and not being
ὑπεύθυνον· καὶ τὸ πρᾶγμ' ἦν ὑπεργέλοιον. τί οὖν ἦν τοῦτο;
liable and the thing was very-ridiculous what then was this
τῆς προτέρας ἐκείνης πρεσβείας, ἧς οὐδεὶς κατηγόρει,
the first that embassy of-which no-one accused
δοὺς λόγον οὐκέτ' ἐβούλετ' αὖθις εἰσιέναι περὶ ταύτης
having-given account no-longer he-wished again to-come-to-court about this
ἧς νῦν εἰσέρχεται, ἐν ᾗ πάντα τἀδικήματ' ἐνῆν·
for-which now he-comes-to-court in which all the-wrongs were
212 ἐκ δὲ τοῦ δὶς ἔμ' εἰσελθεῖν ἀνάγκη περιίστατο καὶ
from but the twice me to-come-to-court necessity was-coming-round also
τούτῳ πάλιν εἰσιέναι· διὰ ταῦτ' οὐκ εἶα
for-this-man again to-come-to-court because-of these-things not he-allowed
καλεῖν. καίτοι τοῦτο τὸ ἔργον, ὦ ἄνδρες Ἀθηναῖοι,
to-summon and-yet this the deed O men Athenians
ἀμφότερ' ὑμῖν ἐπιδείκνυσι σαφῶς, καὶ κατεγνωκόθ'
both to-you shows clearly both having-condemned
ἑαυτοῦ τοῦτον ὥστε μηδενὶ νῦν ὑμῶν εὐσεβῶς ἔχειν
himself this-man so-that for-no-one now of-you piously to-be-possible
ἀποψηφίσασθαι αὐτοῦ, καὶ μηδὲν ἀληθὲς ἐροῦντα περὶ
to-acquit him and nothing true going-to-say about

ἐμοῦ· εἰ γὰρ εἶχε, τότ᾽ ἂν καὶ λέγων καὶ κατηγορῶν
me if for he-had then — both speaking and accusing
ἐξητάζετο, οὐ μὰ Δί᾽ οὐκ ἀπηγόρευε καλεῖν.
he-would-have-been-seen not by Zeus not he-would-be-forbidding to-summon
ὡς τοίνυν ταῦτ᾽ ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς 213
as then these-things true I-say call for-me of-these the
μάρτυρας.
witnesses
ἀλλὰ μὴν ἄν γέ τι ἔξω τῆς πρεσβείας βλασφημῇ
but truly if at-least anything outside the embassy he-slanders
περὶ ἐμοῦ, κατὰ πόλλ᾽ οὐκ ἂν εἰκότως ἀκούοιτ᾽
about me for many-reasons not — rightly you-would-listen-to
αὐτοῦ. οὐ γὰρ ἐγὼ κρίνομαι τήμερον, οὐδ᾽ ἐγχεῖ μετὰ
him not for I am-on-trial today nor pours after
ταῦθ᾽ ὕδωρ οὐδεὶς ἐμοί. τί οὖν ἐστι ταῦτα πλὴν
these-things water anyone for-me what then are these-things except
δικαίων λόγων ἀπορία; τίς γὰρ ἂν κατηγορεῖν ἕλοιτο
of-just arguments want who for — to-accuse would-choose
κρινόμενος, ἔχων ὅ τι ἀπολογήσεται;
being-tried having that which he-will-say-in-defense
ἔτι τοίνυν κἀκεῖνο σκοπεῖτ᾽, ἄνδρες δικασταί. εἰ ἐκρινόμην 214
further then and-that consider men jurors if were-on-trial
μὲν ἐγώ, κατηγόρει δ᾽ Αἰσχίνης οὑτοσί, Φίλιππος δ᾽ ἦν
indeed I accused and Aeschines this-here Philip and was
ὁ κρίνων, εἶτ᾽ ἐγὼ μηδὲν ἔχων εἰπεῖν ὡς οὐκ ἀδικῶ
the-one judging then I nothing having to-say that not I-do-wrong
κακῶς ἔλεγον τουτονὶ καὶ προπηλακίζειν ἐπεχείρουν,
ill spoke-of this-here and to-abuse tried
οὐκ ἂν οἴεσθε καὶ κατ᾽ αὐτὸ τοῦτ᾽ ἀγανακτῆσαι τὸν
not — do-you-think even for itself this to-be-indignant —
Φίλιππον, εἰ παρ᾽ ἐκείνῳ τοὺς ἐκείνου τις εὐεργέτας
Philip if before him the his anyone benefactors

κακῶς λέγει; μὴ τοίνυν ὑμεῖς χείρους γένησθε Φιλίππου,
ill speaks-of not then you worse be than-Philip
ἀλλ' ὑπὲρ ὧν ἀγωνίζεται, περὶ τούτων ἀναγκάζετ'
but for what he-is-on-trial about these-things compel
ἀπολογεῖσθαι. λέγε τὴν μαρτυρίαν.
to-defend-himself read the testimony
215 οὐκοῦν ἐγὼ μέν, ἐκ τοῦ μηδὲν ἐμαυτῷ συνειδέναι, καὶ
therefore I indeed from the nothing with-myself to-be-conscious-of both
λόγον διδόναι καὶ πάντα τἀκ τῶν νόμων ὑπέχειν
account to-give and all the-things-from the laws to-submit-to
ᾤμην δεῖν, οὗτος δὲ τἀναντία. πῶς οὖν ταὔτ' ἐμοὶ
I-thought to-be-necessary this-man but the-opposite how then the-same-things by-me
καὶ τούτῳ πέπρακται; ἢ πῶς ἔνεστι τούτῳ ταῦτα
and by-this-man have-been-done or how is-it-possible for-this-man these-things
πρὸς ὑμᾶς λέγειν, ἃ μηδ' ἠτίαται πρότερον πώποτε;
to you to-say which not-even he-has-charged before ever
οὐδαμῶς δήπου. ἀλλ' ὅμως ἐρεῖ, καὶ νὴ Δί' εἰκότως γε.
in-no-way surely but nevertheless he-will-say and by Zeus reasonably at-least
ἴστε γὰρ δήπου τοῦθ', ὅτι ἀφ' οὗ γεγόνασιν ἄνθρωποι καὶ
you-know for surely this that from when have-existed men and
κρίσεις γίγνονται, οὐδεὶς πώποθ' ὁμολογῶν ἀδικεῖν ἑάλω,
trials take-place no-one ever confessing to-do-wrong was-convicted
ἀλλ' ἀναισχυντοῦσιν, ἀρνοῦνται, ψεύδονται, προφάσεις
but they-are-shameless they-deny they-lie excuses
πλάττονται, πάντα ποιοῦσιν ὑπὲρ τοῦ μὴ δοῦναι δίκην.
they-invent everything they-do for the not to-pay penalty
216 ὧν οὐδενὶ δεῖ παρακρουσθῆναι τήμερον ὑμᾶς, ἀλλ'
of-which by-none it-is-needful to-be-misled today you but
ἀφ' ὧν ἴστ' αὐτοὶ τὰ πράγματα κρῖναι, μὴ τοῖς
from what you-know yourselves the affairs to-judge not to-the
ἐμοῖς λόγοις μηδὲ τοῖς τούτου προσέχειν, μηδέ γε τοῖς
my words nor to-the of-this-man to-attend nor at-least to-the

μάρτυσιν, οὓς οὗτος ἑτοίμους ἕξει μαρτυρεῖν ὁτιοῦν,
witnesses whom this-man ready will-have to-testify anything-whatever
Φιλίππῳ χορηγῷ χρώμενος· ὄψεσθε δ' ὡς ἑτοίμως
Philip as-paymaster using you-will-see and how readily
αὐτῷ μαρτυρήσουσιν· μηδέ γ' εἰ καλὸν καὶ μέγ' οὗτος
for-him they-will-testify nor at-least if fine and loud this-man
φθέγξεται, μηδ' εἰ φαῦλον ἐγώ.
will-speak nor if poorly I
οὐδὲ γὰρ ῥητόρων οὐδὲ λόγων κρίσιν ὑμᾶς τήμερον, 217
nor for of-orators nor of-speeches a-judgment you today
εἴπερ εὖ φρονεῖτε, προσήκει ποιεῖν, ἀλλ' ὑπὲρ πραγμάτων
if-indeed well you-think it-befits to-make but for affairs
αἰσχρῶς καὶ δεινῶς ἀπολωλότων τὴν ὑπάρχουσαν αἰσχύνην
shamefully and terribly ruined the existing shame
εἰς τοὺς αἰτίους ἀπώσασθε, τὰ πεπραγμένα, ἃ πάντες
onto the guilty push-off the things-done which all
ἐπίστασθε, ἐξετάσαντες. τί οὖν ἐστι ταῦθ' ἃ ὑμεῖς
you-know having-examined what then are these-things which you
ἴστε καὶ οὐ παρ' ἡμῶν ὑμᾶς ἀκοῦσαι δεῖ;
know and not from us you to-hear need

If the peace has brought everything the envoys promised, and the jurors admit they made it gladly, knowing beforehand that the allies would perish, Thebes grow strong, and Philip take Thrace, Demosthenes says, they may acquit Aeschines and call Demosthenes mad; if the envoys deceived them in every promise, they must condemn him. He had no feud with Aeschines and gained nothing by accusing him; he could have taken Philip's money too, but he reported the truth and refused the gifts. He fears the jurors, led astray by pity, envy, or anger, will let the guilty go. Of the envoys, Demosthenes ransomed prisoners with his own money, another spent his bribes on harlots and fish, and Phryno sent his son to Philip. Demosthenes did praise his colleagues, invite them to the prytaneum, and entertain Philip's envoys splendidly, but before the city had been wronged.

218 εἰ μὲν ἅπανθ' ὅσ' ὑπέσχονθ' ὑμῖν ἐκ τῆς εἰρήνης
if indeed all as-much-as they-promised you from the peace
γέγονε, καὶ τοσαύτης ἀνανδρίας καὶ κακίας ὑμεῖς ὁμολογεῖτ'
has-come and of-such cowardice and baseness you confess
εἶναι μεστοί, ὥστε μήτ' ἐν τῇ χώρᾳ τῶν πολεμίων
to-be full that neither in the country the enemies
ὄντων μήτ' ἐκ θαλάττης πολιορκούμενοι μήτ' ἐν ἄλλῳ
being nor from sea being-blockaded nor in other
μηδενὶ δεινῷ τῆς πόλεως οὔσης, ἀλλὰ καὶ σῖτον εὔωνον
no danger the city being but both grain cheap
ὠνούμενοι καὶ τἄλλ' οὐδὲν χεῖρον πράττοντες ἢ νῦν,
buying and the-rest nothing worse faring than now
219 προειδότες καὶ προακηκοότες παρὰ τούτων καὶ
knowing-beforehand and having-heard-beforehand from these-men both
τοὺς συμμάχους ἀπολουμένους καὶ Θηβαίους ἰσχυροὺς
the allies going-to-perish and Thebans strong
γενησομένους καὶ τἀπὶ Θρᾴκης Φίλιππον ληψόμενον
going-to-become and the-places-toward Thrace Philip going-to-take

καὶ ἐν Εὐβοίᾳ κατασκευασθησόμεν᾽ ὁρμητήρι᾽ ἐφ᾽ ὑμᾶς
and in Euboea going-to-be-prepared bases against you
καὶ πάνθ᾽ ἃ πέπρακται γενησόμενα, εἶτα τὴν εἰρήνην
and all-things which have-been-done going-to-happen then the peace
ἐποιήσασθ᾽ ἀγαπητῶς, ἀποψηφίσασθ᾽ Αἰσχίνου, καὶ μὴ
you-made contentedly acquit Aeschines and not
πρὸς τοσούτοις αἰσχροῖς καὶ ἐπιορκίαν προσκτήσησθε·
besides so-many disgraces also perjury acquire
οὐδὲν γὰρ ὑμᾶς ἀδικεῖ, ἀλλ᾽ ἐγὼ μαίνομαι καὶ τετύφωμαι
nothing for you be-wrongs but I am-mad and am-deluded
νῦν κατηγορῶν αὐτοῦ.
now accusing him
εἰ δὲ πάντα τἀναντία τούτων καὶ πολλὰ καὶ φιλάνθρωπ᾽ 220
if but all the-opposite of-these and many and kindly-things
εἰπόντες, Φίλιππον φιλεῖν τὴν πόλιν, Φωκέας σώσειν,
having-said Philip to-love the city Phocians to-be-going-to-save
Θηβαίους παύσειν τῆς ὕβρεως, ἔτι πρὸς τούτοις
Thebans to-be-going-to-stop from-the insolence still besides these
μείζον᾽ ἢ κατ᾽ Ἀμφίπολιν εὖ ποιήσειν ὑμᾶς,
greater than in-respect-of Amphipolis well to-be-going-to-treat you
ἐὰν τύχῃ τῆς εἰρήνης, Εὔβοιαν, Ὠρωπὸν ἀποδώσειν·
if he-obtains the peace Euboea Oropus to-be-going-to-restore
εἰ ταῦτ᾽ εἰπόντες καὶ ὑποσχόμενοι πάντ᾽ ἐξηπατήκασι
if these-things having-said and having-promised in-all they-have-deceived
καὶ πεφενακίκασι καὶ μόνον οὐ τὴν Ἀττικὴν ὑμῶν
and cheated and only not — Attica of-you
περιῄρηνται, καταψηφίσασθε, καὶ μὴ πρὸς τοῖς ἄλλοις
have-stripped-away condemn and not besides the other-things
οἷς ὕβρισθε (οὐ γὰρ ἔγωγ᾽ οἶδ᾽ ὅ τι χρὴ
in-which you-have-been-outraged not for I-at-least know that which one-must

λέγειν ἄλλο) καὶ ὑπὲρ ὧν οὗτοι δεδωροδοκήκασιν ὑμεῖς
say otherwise also for what these-men have-taken-bribes you
τὴν ἀρὰν καὶ τὴν ἐπιορκίαν οἴκαδ' εἰσενέγκησθε.
the curse and the perjury home carry
221 ἔτι τοίνυν κἀκεῖνο σκοπεῖτ', ὦ ἄνδρες δικασταί, τίνος
further then and-that consider O men jurors of-what
εἵνεκ' ἐγὼ μηδὲν ἠδικηκότων τούτων κατηγορεῖν ἂν
for-the-sake I nothing having-done-wrong these-men to-accuse —
προειλόμην. οὐ γὰρ εὑρήσετε. ἡδὺ πολλοὺς ἐχθροὺς
would-have-chosen not for you-will-find pleasant many enemies
ἔχειν; οὐδέ γ' ἀσφαλές. ἀλλ' ὑπῆρχέ μοι πρὸς τοῦτον
to-have nor at-least safe but there-was for-me toward this-man
ἀπέχθειά τις; οὐδεμία. τί οὖν; 'ἐφοβοῦ περὶ σαυτοῦ,
hostility any none what then you-feared for yourself
καὶ διὰ δειλίαν ταύτην ἡγήσω σωτηρίαν·' καὶ γὰρ
and through cowardice this you-thought safety and for
ταῦτ' ἀκήκο' αὐτὸν λέγειν. καίτοι μηδενός γ' ὄντος,
these-things I-have-heard him to-say and-yet nothing at-least being
Αἰσχίνη, δεινοῦ μηδ' ἀδικήματος, ὡς σὺ φῄς, εἰ γὰρ
Aeschines dangerous nor wrong as you say if for
αὖ ταῦτ' ἐρεῖ, σκοπεῖτ', ἄνδρες δικασταί, εἰ ἐφ' οἷς
again these-things he-will-say consider men jurors if at what
ὁ μηδ' ὁτιοῦν ἀδικῶν ἐφοβούμην ἐγὼ μὴ διὰ
the-one not-even in-anything doing-wrong feared I lest because-of
τούτους ἀπόλωμαι, τί τούτους προσήκει παθεῖν τοὺς
these-men I-perish what these-men befits to-suffer the-ones
αὐτοὺς ἠδικηκότας; ἀλλ' οὐ διὰ ταῦτα.
themselves having-done-wrong but not because-of these-things
222 ἀλλὰ διὰ τί σου κατηγορῶ; συκοφαντῶ νὴ Δία,
but because-of what you do-I-accuse I-blackmail by Zeus
ἵν' ἀργύριον λάβω παρὰ σοῦ. καὶ πότερον κρεῖττον
so-that silver I-may-get from you and which better

ἦν μοι παρὰ Φιλίππου λαβεῖν, τοῦ διδόντος πολὺ καὶ
was for-me from Philip to-get the-one giving much and
μηδενὸς τούτων ἔλαττον, καὶ φίλον κἀκεῖνον ἔχειν καὶ
than-none of-these less and as-friend both-him to-have and
τούτους (ἦσαν γὰρ ἄν, ἦσαν φίλοι τῶν αὐτῶν
these-men they-would-have-been for — would-have-been friends of-the same
κεκοινωνηκότι· οὐδὲ γὰρ νῦν ἔχθραν πατρικὴν ἔχουσι
having-shared nor for now enmity hereditary they-have
πρός με, ἀλλ' ὅτι τῶν πεπραγμένων οὐ μετέσχηκα),
toward me but because in-the things-done not I-have-shared
ἢ παρὰ τούτων ἀφ' ὧν εἰλήφασι μεταιτεῖν, κἀκείνῳ τ'
or from these-men from what they-have-taken to-beg-a-share and-to-him both
ἐχθρὸν εἶναι καὶ τούτοις; καὶ τοὺς μὲν αἰχμαλώτους ἐκ
hateful to-be and to-these-men and the indeed prisoners from
τῶν ἰδίων τοσούτων χρημάτων λύεσθαι, μικρὰ δ' ἀξιοῦν
the own so-great money to-ransom small-sums but to-claim
παρὰ τούτων αἰσχρῶς μετ' ἔχθρας λαμβάνειν;
from these-men shamefully with enmity to-take
οὐκ ἔστι ταῦτα, ἀλλ' ἀπήγγειλα μὲν τἀληθῆ καὶ 223
not is these-things but I-reported indeed the-truth and
ἀπεσχόμην τοῦ λαβεῖν τοῦ δικαίου καὶ τῆς ἀληθείας
abstained-from the taking for-the justice and the truth
εἵνεκα καὶ τοῦ λοιποῦ βίου, νομίζων, ὥσπερ ἄλλοι τινὲς
for-the-sake and of-the rest life thinking just-as others some
παρ' ὑμῖν, καὶ αὐτὸς ὢν ἐπιεικὴς τιμηθήσεσθαι, καὶ οὐκ
among you also myself being decent to-be-going-to-be-honored and not
ἀνταλλακτέον εἶναί μοι τὴν πρὸς ὑμᾶς φιλοτιμίαν οὐδενὸς
to-be-exchanged to-be for-me the toward you good-repute for-no
κέρδους· μισῶ δὲ τούτους, ὅτι μοχθηροὺς καὶ θεοῖς
gain I-hate and these-men because wicked and to-gods
ἐχθροὺς εἶδον ἐν τῇ πρεσβείᾳ, καὶ ἀπεστέρημαι καὶ τῶν
hateful I-saw-them on the embassy and I-have-been-robbed also of-the

ἰδίων φιλοτιμιῶν διὰ τὴν τούτων δωροδοκίαν πρὸς ὅλην
private honors because-of the of-these-men bribe-taking toward whole
δυσχερῶς ὑμῶν τὴν πρεσβείαν ἐσχηκότων· κατηγορῶ δὲ
with-displeasure you the embassy having-been-disposed I-accuse and
νυνὶ καὶ ἐπὶ τὰς εὐθύνας ἥκω τὸ μέλλον προορώμενος,
now and to the audits I-come the future foreseeing
καὶ βουλόμενος ἀγῶνι καὶ δικαστηρίῳ μοι διωρίσθαι
and wishing by-trial and by-court for-me to-have-been-determined
παρ᾽ ὑμῖν ὅτι τἀναντί᾽ ἐμοὶ καὶ τούτοις πέπρακται.
before you that the-opposite by-me and by-these-men has-been-done
224 καὶ δέδοικα, δέδοικα (εἰρήσεται γὰρ πάνθ᾽ ἃ φρονῶ
and I-fear I-fear it-will-be-said for all-things which I-think
πρὸς ὑμᾶς) μὴ τότε μὲν συνεπισπάσησθ᾽ ἐμὲ τὸν μηδ᾽
to you lest then indeed you-drag-down-with-them me the-one not-even
ὁτιοῦν ἀδικοῦντα, νῦν δ᾽ ἀναπεπτωκότες ἦτε. παντάπασι
in-anything doing-wrong now but having-fallen-slack you-are altogether
γάρ, ἄνδρες Ἀθηναῖοι, ἐκλελύσθαι μοι δοκεῖτε καὶ παθεῖν
for men Athenians to-have-gone-slack to-me you-seem and to-suffer
ἀναμένειν τὰ δεινά, ἑτέρους δὲ πάσχοντας ὁρῶντες
to-wait the terrible-things others but suffering seeing
οὐ φυλάττεσθαι, οὐδὲ φροντίζειν τῆς πόλεως πάλαι κατὰ
not to-be-on-guard nor to-care-for the city long-since in
πολλοὺς καὶ δεινοὺς τρόπους διαφθειρομένης.
many and terrible ways being-ruined
225 οὐκ οἴεσθε δεινὸν εἶναι καὶ ὑπερφυές; (καὶ γὰρ
not do-you-think terrible to-be and monstrous and for
εἴ τι σιωπᾶν ἐγνώκειν, λέγειν ἐξάγομαι.) ἴστε
if anything to-keep-silent I-had-resolved to-say I-am-led-on you-know
δήπου Πυθοκλέα τουτονὶ τὸν Πυθοδώρου. τούτῳ πάνυ
surely Pythocles this-here the of-Pythodorus with-him very
φιλανθρώπως ἐκεχρήμην ἐγώ, καὶ ἀηδὲς ἐμοὶ καὶ τούτῳ
kindly I-had-dealt I and unpleasant to-me and to-him

γέγονεν εἰς τὴν ἡμέραν ταύτην οὐδέν. οὗτος ἐκτρέπεταί
has-happened until the day this nothing this-man turns-aside-from
με νῦν ἀπαντῶν, ἀφ' οὗ πρὸς Φίλιππον ἀφῖκται, κἂν
me now meeting from when to Philip he-has-been and-if
ἀναγκασθῇ που συντυχεῖν, ἀπεπήδησεν εὐθέως, μή τις
he-is-forced somewhere to-meet he-jumped-away at-once lest anyone
αὐτὸν ἴδῃ λαλοῦντ' ἐμοί· μετὰ δ' Αἰσχίνου περιέρχεται
him see chatting with-me with but Aeschines he-goes-around
τὴν ἀγορὰν κύκλῳ καὶ βουλεύεται.
the marketplace round and takes-counsel
οὐκοῦν δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον τοῖς 226
therefore terrible O men Athenians and cruel for-the-ones
μὲν τὰ Φιλίππου πράγμαθ' ἡρημένοις θεραπεύειν οὕτως
indeed the of-Philip affairs having-chosen to-serve so
ἀκριβῆ τὴν παρ' ἐκείνου πρὸς ἑκάτερ' αἴσθησιν ὑπάρχειν,
exact the from him toward each-of-two perception to-exist
ὥσθ' ἕκαστον, ὥσπερ ἂν παρεστηκότος αὐτοῦ, μηδ' ὧν
that each-man as-if — standing-by him not-even of-what
ἂν ἐνθαδὶ πράξῃ μηδὲν ἡγεῖσθαι λήσειν, ἀλλὰ
— here he-does nothing to-think to-be-going-to-escape-notice but
φίλους τε νομίζειν οὓς ἂν ἐκείνῳ δοκῇ καὶ μὴ φίλους
friends both to-consider whom — to-him it-seems and not friends
ὡσαύτως, τοῖς δὲ πρὸς ὑμᾶς ζῶσι καὶ τῆς παρ' ὑμῶν
likewise for-the-ones but toward you living and the from you
τιμῆς γλιχομένοις καὶ μὴ προδεδωκόσι ταύτην τοσαύτην
honor craving and not having-betrayed this such
κωφότητα καὶ τοσοῦτο σκότος παρ' ὑμῶν ἀπαντᾶν, ὥστε
deafness and such darkness from you to-meet that
τοῖς ἀλειτηρίοις τούτοις ἐξ ἴσου νῦν ἔμ' ἀγωνίζεσθαι,
with-the accursed these on equal-terms now me to-contend
καὶ ταῦτα παρ' ὑμῖν τοῖς ἅπαντ' εἰδόσιν.
and this before you the-ones all-things knowing

227 βούλεσθ᾽ οὖν εἰδέναι καὶ ἀκοῦσαι τὸ τούτων αἴτιον;
do-you-wish then to-know and to-hear the of-these-things cause
ἐγὼ δὴ φράσω, ἀξιῶ δὲ μηδέν᾽ ἄχθεσθαί μοι λέγοντι
I indeed will-tell I-ask but no-one to-be-vexed with-me telling
τἀληθῆ. ὅτι ἐκεῖνος μὲν ἕν, οἶμαι, σῶμ᾽ ἔχων καὶ ψυχὴν
the-truth because he indeed one I-think body having and soul
μίαν παντὶ θυμῷ καὶ φιλεῖ τοὺς ἑαυτὸν εὖ ποιοῦντας καὶ
one with-all heart both loves the-ones himself well treating and
μισεῖ τοὺς τἀναντία, ὑμῶν δ᾽ ἕκαστος πρῶτον μὲν οὔτε
hates the-ones the-opposite of-you but each first indeed neither
τὸν εὖ ποιοῦντα τὴν πόλιν αὑτὸν εὖ ποιεῖν ἡγεῖται,
the-one well treating the city himself well to-treat thinks
228 οὔτε τὸν κακῶς κακῶς, ἀλλ᾽ ἕτερ᾽ ἐστὶν ἑκάστῳ
nor the-one badly badly but other-things are for-each
προυργιαίτερα, ὑφ᾽ ὧν παράγεσθε πολλάκις, ἔλεος,
more-important by which you-are-led-astray often pity
φθόνος, ὀργή, χαρίσασθαι τῷ δεηθέντι, ἄλλα μυρία·
envy anger to-gratify the-one having-asked other-things countless
ἂν δ᾽ ἄρ᾽ ἅπαντά τις ἐκφύγῃ, ἀλλὰ τούς γ᾽
if but after-all all-things anyone escapes but the-ones at-least
οὐδένα βουλομένους εἶναι τοιοῦτον οὐ διαφεύξεται. ἡ δ᾽
no-one wishing to-be such not he-will-escape the and
ἐφ᾽ ἑκάστου τούτων ἁμαρτία κατὰ μικρὸν ὑπορρέουσα
in each of-these error by little seeping-in
ἀθρόος τῇ πόλει βλάβη γίγνεται.
in-a-mass for-the city harm becomes
229 ὧν μηδέν, ὦ ἄνδρες Ἀθηναῖοι, πάθητε τήμερον, μηδ᾽
of-which nothing O men Athenians suffer today nor
ἀφῆτε τοῦτον ὃς ὑμᾶς τηλικαῦτ᾽ ἠδίκηκεν. καὶ γὰρ
acquit this-man who you so-greatly has-wronged and for
ὡς ἀληθῶς τίς ἔσται λόγος περὶ ὑμῶν, εἰ τοῦτον
as truly what will-be the-talk about you if this-man

ἀφήσετε; Ἀθήνηθεν ἐπρέσβευσάν τινες ὡς Φίλιππον
you-will-acquit from-Athens went-as-envoys some to Philip
τουτονί, Φιλοκράτης, Αἰσχίνης, Φρύνων, Δημοσθένης. τί
this-here Philocrates Aeschines Phryno Demosthenes what
οὖν; ὁ μὲν πρὸς τῷ μηδὲν ἐκ τῆς πρεσβείας λαβεῖν
then the-one indeed besides the nothing from the embassy to-take
τοὺς αἰχμαλώτους ἐκ τῶν ἰδίων ἐλύσατο· ὁ δ'
the prisoners from the own ransomed the-other but
ὧν τὰ τῆς πόλεως πράγματα χρημάτων ἀπέδοτο,
with-what the of-the city affairs for-money he-sold
τούτων πόρνας ἠγόραζε καὶ ἰχθῦς περιών.
with-that harlots bought and fish going-around
καὶ ὁ μὲν τὸν υἱὸν ἔπεμψε Φιλίππῳ, πρὶν εἰς 230
and the-one indeed the son sent to-Philip before among
ἄνδρας ἐγγράψαι, ὁ μιαρὸς Φρύνων· ὁ δ' οὐδὲν
men to-enroll the foul Phryno the-other but nothing
ἀνάξιον οὔτε τῆς πόλεως οὔθ' αὑτοῦ διεπράξατο. καὶ
unworthy either of-the city or of-himself did and
ὁ μὲν χορηγῶν καὶ τριηραρχῶν ἔτι καὶ ταῦτ'
the-one indeed serving-as-choregus and as-trierarch still also these-sums
ᾤετο δεῖν ἐθελοντὴς ἀναλίσκειν, μηδέν' ἐν συμφορᾷ
thought to-be-necessary voluntarily to-spend no-one in misfortune
τῶν πολιτῶν δι' ἔνδειαν περιορᾶν· ὁ δὲ τοσούτου
of-the citizens through want to-overlook the-other but so-far
δεῖ τῶν ὑπαρχόντων τιν' αἰχμάλωτον σῶσαι, ὥσθ'
he-lacks of-the existing any captive to-save that
ὅλον τόπον καὶ πλεῖν ἢ μυρίους μὲν ὁπλίτας, ὁμοῦ
whole a-region and more than ten-thousand indeed hoplites together
δὲ χιλίους ἱππέας τῶν ὑπαρχόντων συμμάχων ὅπως
and a-thousand horsemen of-the existing allies so-that
αἰχμάλωτοι γένωνται Φιλίππῳ, συμπαρεσκεύασεν.
captives they-might-become to-Philip he-helped-contrive

231 τί οὖν μετὰ ταῦτα; Ἀθηναῖοι λαβόντες, ᾔδεσαν μὲν γὰρ
what then after these-things Athenians having-caught knew indeed for
πάλαι· τί δέ; τοὺς μὲν χρήματ᾽ εἰληφότας καὶ δῶρα
long-ago what but the-ones indeed money having-taken and bribes
καὶ καταισχύναντας ἑαυτούς, τὴν πόλιν, τοὺς ἑαυτῶν
and having-disgraced themselves the city the their-own
παῖδας, ἀφεῖσαν καὶ νοῦν ἔχειν ἡγοῦντο καὶ τὴν πόλιν
children they-acquitted and sense to-have thought and the city
εὐθενεῖσθαι· τὸν δὲ κατηγοροῦντα τί; ἐμβεβροντῆσθαι,
to-prosper the-one but accusing what to-be-thunderstruck
τὴν πόλιν ἀγνοεῖν, οὐκ ἔχειν ὅποι τὰ ἑαυτοῦ ῥίπτῃ.
the city not-to-know not to-have where the his-own he-may-throw
232 καὶ τίς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτ᾽ ἰδὼν τὸ παράδειγμα,
and who O men Athenians this having-seen the example
δίκαιον αὑτὸν παρασχεῖν ἐθελήσει; τίς προῖκα πρεσβεύειν,
just himself to-show will-be-willing who for-nothing to-be-envoy
εἰ μήτε λαβεῖν μήτε τῶν εἰληφότων ἀξιοπιστότερον
if neither to-take nor than-the-ones having-taken more-trustworthy
παρ᾽ ὑμῖν εἶναι δοκεῖν ὑπάρξει; οὐ μόνον κρίνετε τούτους
among you to-be to-seem shall-be-his not only you-judge these-men
τήμερον, οὔ, ἀλλὰ καὶ νόμον τίθεσθ᾽ εἰς ἅπαντα τὸν
today no but also a-law you-lay-down for all the
μετὰ ταῦτα χρόνον, πότερον χρημάτων αἰσχρῶς ὑπὲρ
after these-things time whether for-money shamefully for
τῶν ἐχθρῶν πρεσβεύειν ἅπαντας προσήκει ἢ προῖχ᾽ ὑπὲρ
the enemies to-be-envoys all is-fitting or for-nothing for
ὑμῶν τὰ βέλτιστ᾽ ἀδωροδοκήτως.
you the best-things incorruptibly

ἀλλὰ μὴν περὶ μὲν τῶν ἄλλων οὐδενὸς προσδεῖσθε 233
but truly about indeed the other-things nothing you-need-besides
μάρτυρος· ὡς δὲ τὸν υἱὸν ἔπεμψεν ὁ Φρύνων, κάλει μοι
witness that but the son sent — Phryno call for-me
τούτων τοὺς μάρτυρας.
of-these the witnesses
φέρε δὴ περὶ τῆς ἑστιάσεως καὶ τοῦ ψηφίσματος εἴπω· 234
come indeed about the entertainment and the decree let-me-speak
μικροῦ γ', ἃ μάλιστά μ' ἔδει πρὸς ὑμᾶς εἰπεῖν,
nearly at-least what most me it-was-needful to you to-say
παρῆλθεν. τῆς πρώτης ἐκείνης πρεσβείας γράφων τὸ
escaped-me of-the first that embassy proposing the
προβούλευμ' ἐγὼ καὶ πάλιν ἐν τῷ δήμῳ ταῖς ἐκκλησίαις,
preliminary-decree I and again in the assembly at-the assemblies
ἐν αἷς ἐμέλλετε βουλεύεσθαι περὶ τῆς εἰρήνης, οὐδενὸς
in which you-were-going to-deliberate about the peace no
οὔτε λόγου πω παρὰ τούτων οὔτ' ἀδικήματος ὄντος
either word yet from these-men nor wrong being
φανεροῦ, τὸ νόμιμον ποιῶν, καὶ ἐπῄνεσα τούτους καὶ
evident the customary-thing doing both I-praised these-men and
εἰς πρυτανεῖον ἐκάλεσα.
to prytaneum invited
καὶ νὴ Δί' ἔγωγε καὶ τοὺς παρὰ τοῦ Φιλίππου πρέσβεις 235
and by Zeus I-at-least also the from — Philip envoys
ἐξένισα, καὶ πάνυ γ', ὦ ἄνδρες Ἀθηναῖοι, λαμπρῶς·
entertained and very at-least O men Athenians splendidly
ἐπειδὴ γὰρ ἑώρων αὐτοὺς καὶ ἐπὶ τοῖς τοιούτοις
since for I-saw them also on the such-things
ἐκεῖ σεμνυνομένους ὡς εὐδαίμονας καὶ λαμπρούς, εὐθὺς
there priding-themselves as prosperous and splendid at-once
ἡγούμην ἐν τούτοις πρῶτον περιεῖναι δεῖν αὐτῶν
I-thought in these-things first to-surpass to-be-necessary them

καὶ μεγαλοψυχότερος φαίνεσθαι. ταῦτα δὴ παρέξεται
and more-magnanimous to-appear these-things indeed will-produce
νῦν οὗτος λέγων ὡς ‘αὐτὸς ἐπῄνεσεν ἡμᾶς, αὐτὸς εἱστία
now this-man saying that himself praised us himself entertained
τοὺς πρέσβεις,’ τὸ πότ’ οὐ διορίζων.
the envoys the when not distinguishing
236 ἔστι δὲ ταῦτα πρὸ τοῦ τὴν πόλιν ἠδικῆσθαί τι καὶ
are but these-things before the the city to-have-been-wronged at-all and
φανεροὺς τούτους πεπρακότας αὑτοὺς γενέσθαι, ὅτ’ ἄρτι
evident these-men having-sold themselves to-have-become when just
μὲν ἦκον οἱ πρέσβεις τὸ πρῶτον, ἔδει δ’ ἀκοῦσαι τὸν
indeed had-come the envoys the first it-was-needful and to-hear the
δῆμον τί λέγουσιν, οὐδέπω δ’ οὔθ’ οὗτος συνερῶν δῆλος
people what they-say not-yet and either this-man going-to-support plain
ἦν τῷ Φιλοκράτει οὔτ’ ἐκεῖνος τοιαῦτα γράψων. ἂν δὴ
was — Philocrates or he such-things going-to-propose if indeed
ταῦτα λέγῃ, μέμνησθε τοὺς χρόνους ὅτι τῶν ἀδικημάτων
these-things he-says remember the dates that than-the wrongs
εἰσὶ πρότεροι. μετὰ ταῦτα δ’ οὐδὲν ἐμοὶ πρὸς τούτους
they-are earlier after these-things and nothing for-me with these-men
οἰκεῖον οὐδὲ κοινὸν γέγονεν. λέγε τὴν μαρτυρίαν.
intimate nor common has-been read the testimony

Aeschines' brothers, Philochares and Aphobetus, may plead for him, but the jurors' oath binds them to the laws. Against Timarchus Aeschines quoted Hesiod on rumor that never dies and Euripides on the man known by his company; Demosthenes turns both back on him, since rumor says he took money on the embassy and he keeps company with Philocrates. He quotes the speech of Creon from Sophocles' Antigone, which Aeschines often played as third actor, on the man who prefers a friend to his fatherland. Aeschines never recited it to himself on the embassy: he put Philip's friendship above the city that is the ship of all its citizens, and sank it.

ἴσως τοίνυν ἀδελφὸς αὐτῷ συνερεῖ Φιλοχάρης καὶ Ἀφόβητος· 237
perhaps then brother for-him will-plead Philochares and Aphobetus
πρὸς οὓς ἀμφοτέρους ὑμῖν πολλὰ καὶ δίκαι' ἔστιν εἰπεῖν.
to whom both for-you many and just-things it-is-possible to-say
ἀνάγκη δ', ὦ ἄνδρες Ἀθηναῖοι, μετὰ παρρησίας διαλεχθῆναι,
it-is-necessary and O men Athenians with frankness to-speak
μηδὲν ὑποστελλόμενον. ἡμεῖς, Ἀφόβητε καὶ σὺ Φιλόχαρες, σὲ
nothing holding-back we Aphobetus and you Philochares you
μὲν τὰς ἀλαβαστοθήκας γράφοντα καὶ τὰ τύμπανα, τούτους
indeed the alabaster-boxes painting and the drums these
δ' ὑπογραμματέας καὶ τοὺς τυχόντας ἀνθρώπους (καὶ
but under-clerks and the ordinary men and
οὐδεμιᾶς κακίας ταῦτα, ἀλλ' οὐδὲ στρατηγίας γ' ἄξια)
of-no baseness these-things but not-even of-generalship at-least worthy
πρεσβειῶν, στρατηγιῶν, τῶν μεγίστων τιμῶν ἠξιώσαμεν.
of-embassies of-generalships of-the highest honors we-deemed-worthy
εἰ τοίνυν μηδὲν ὑμῶν ἠδίκει μηδείς, οὐχ ἡμεῖς χάριν ὑμῖν 238
if then in-nothing of-you did-wrong anyone not we gratitude to-you
οὐδενός, ἀλλ' ὑμεῖς ἡμῖν δικαίως ἂν ἔχοιτε τούτων· πολλοὺς
for-anything but you to-us justly — would-owe for-these-things many
γὰρ ὑμῶν μᾶλλον ἀξίους τιμᾶσθαι παρέντες ἡμεῖς ὑμᾶς
for than-you more worthy to-be-honored having-passed-over we you

ἐσεμνύνομεν. εἰ δὲ δὴ καὶ ἐν αὐτοῖς οἷς ἐτιμᾶσθ᾽
exalted if but indeed even in the-very-things in-which you-were-honored
ἠδίκηκέ τις ὑμῶν, καὶ ταῦτα τοιαῦτα, πόσῳ μᾶλλον
has-done-wrong any of-you and these-things such by-how-much more
ἂν μισοῖσθε δικαίως ἢ σῴζοισθε; ἐγὼ μὲν οἶμαι
— *would-you-be-hated justly than be-saved I indeed think*
πολλῷ. βιάσονται τοίνυν ἴσως, μεγαλόφωνοι καὶ ἀναιδεῖς
by-much they-will-press then perhaps loud-voiced and shameless
ὄντες, καὶ τὸ ‘συγγνώμη ἀδελφῷ βοηθεῖν’ προσειληφότες.
being and the pardon for-a-brother to-help having-taken-up-besides
239 ὑμεῖς δὲ μὴ ἡττᾶσθε, ἐκεῖν᾽ ἐνθυμούμενοι, ὅτι τούτοις μὲν
you but not give-way that bearing-in-mind that for-these indeed
τούτου· προσήκει φροντίζειν, ὑμῖν δὲ τῶν νόμων καὶ ὅλης
for-him it-befits to-care for-you but for-the laws and whole
τῆς πόλεως καὶ παρὰ πάντα τῶν ὅρκων, οὓς αὐτοὶ κάθησθ᾽
the city and above all the oaths which yourselves you-sit
ὀμωμοκότες. καὶ γὰρ εἰ τινῶν δεδέηνται τουτονὶ σῴζειν,
having-sworn and for if of-some they-have-begged this-man to-save
πότερ᾽ ἂν μηδὲν ἀδικῶν φαίνηται τὴν πόλιν ἢ κἂν
whether if in-nothing doing-wrong he-appears the city or even-if
ἀδικῶν, σκοπεῖτε. εἰ μὲν γὰρ ἂν μή, κἀγώ φημι δεῖν,
doing-wrong consider if indeed for if not I-too say to-be-necessary
εἰ δ᾽ ὅλως κἂν ὁτιοῦν, ἐπιορκεῖν δεδέηνται. οὐ γὰρ εἰ
if but at-all even-if anything-whatever to-forswear they-have-begged not for if
κρύβδην ἐστὶν ἡ ψῆφος, λήσει τοὺς θεούς, ἀλλὰ τοῦτο
secret is the vote it-will-escape the gods but this
καὶ πάντων ἄρισθ᾽ ὁ τιθεὶς τὸν νόμον εἶδε, ὅτι τούτων
also of-all best the-one laying-down the law saw that of-these
μὲν οὐδεὶς εἴσεται τὸν ἑαυτῷ κεχαρισμένον ὑμῶν, οἱ θεοὶ δ᾽
indeed none will-know the-one to-himself having-done-a-favor of-you the gods but
εἴσονται καὶ τὸ δαιμόνιον τὸν μὴ τὰ δίκαια ψηφισάμενον.
will-know and the divine the-one not the just-things having-voted

παρ᾽ ὧν κρεῖττόν ἐστιν ἑκάστῳ τὰς ἀγαθὰς ἐλπίδας 240
from whom better it-is for-each the good hopes
τοῖς παισὶ καὶ ἑαυτῷ, τὰ δίκαια γνόντα καὶ τὰ
for-the children and himself the just-things having-judged and the
προσήκοντα, περιποιήσασθαι ἢ τὴν ἀφανῆ καὶ ἄδηλον
fitting-things to-secure than the hidden and unknown
τούτοις χάριν καταθέσθαι, καὶ ἀφεῖναι τοῦτον ὃς
for-these-men favor to-lay-up and to-acquit this-man who
αὐτὸς ἑαυτοῦ καταμεμαρτύρηκεν. τίνα γάρ, Αἰσχίνη,
himself against-himself has-testified whom for Aeschines
μάρτυρα μείζω παράσχωμαι τοῦ πολλὰ καὶ δεινὰ
witness greater shall-I-produce of-the many and terrible-things
πεπρεσβεῦσθαί σοι ἢ σὲ κατὰ σαυτοῦ; ὃς γὰρ
to-have-been-done-on-embassy by-you than you against yourself who for
ᾠήθης χρῆναι τὸν φανερόν τι ποιῆσαι βουληθέντα
you-thought it-needful the-one openly something to-do having-wished
τῶν σοὶ πεπρεσβευμένων τηλικαύτῃ καὶ τοιαύτῃ συμφορᾷ
of-the by-you embassy-things in-so-great and such misfortune
περιβαλεῖν, δῆλον ὅτι δεινὸν ἄν τι παθεῖν σαυτὸν
to-involve clear that terrible — something to-suffer yourself
ἤλπιζες, εἰ πύθοιν᾽ οὗτοι τὰ πεπραγμένα σοι.
you-expected if should-learn these the things-done by-you
τοῦτο τοίνυν, ἄνπερ ὑμεῖς εὖ φρονῆτε, καθ᾽ αὑτοῦ 241
this then if-indeed you well think against himself
συμβήσεται τούτῳ πεπρᾶχθαι, οὐ μόνον κατὰ τοῦθ᾽
will-turn-out for-this-man to-have-been-done not only in this
ὅτι παμμέγεθες σημεῖόν ἐστι τῶν πεπρεσβευμένων, ἀλλ᾽
that very-great a-sign it-is of-the embassy-things but
ὅτι καὶ κατηγορῶν ἐκείνους τοὺς λόγους εἶπεν οἳ κατ᾽
that also accusing those the words he-spoke which against
αὐτοῦ νῦν ὑπάρχουσιν· ἃ γὰρ ὡρίσω σὺ δίκαια, ὅτε
him now stand what for you-defined you just when

Τίμαρχον ἔκρινες, ταὐτὰ δήπου ταῦτα καὶ κατὰ σοῦ
Timarchus you-prosecuted the-same surely these also against you
προσήκει τοῖς ἄλλοις ἰσχύειν.
befits for-the others to-hold
242 ἔλεγεν τοίνυν τότε πρὸς τοὺς δικαστὰς ὅτι ‘ἀπολογήσεται
he-said then then to the jurors that will-defend
δὲ Δημοσθένης ὑπὲρ αὐτοῦ, καὶ κατηγορήσει τῶν ἐμοὶ
and Demosthenes for him and will-accuse the by-me
πεπρεσβευμένων· εἶτ’, ἐὰν ὑμᾶς ἀπαγάγῃ τῷ λόγῳ,
embassy-things then if you he-leads-away with-the speech
νεανιεύσεται καὶ περιὼν ἐρεῖ· πῶς τι τοὺς δικαστὰς
he-will-swagger and going-around will-say how — the jurors
ἀπαγαγὼν ἀπὸ τῆς ὑποθέσεως ᾠχόμην τὸ πρᾶγμ’ αὐτῶν
having-led-away from the subject I-went-off the case from-them
ὑφελόμενος;’ μὴ σύ γε, ἀλλ’ ὑπὲρ ὧν ἀγωνίζει, περὶ
having-stolen not you at-least but for what you-are-on-trial about
τούτων ἀπολογοῦ· τότε δ’, ἡνίκ’ ἐκεῖνον ἔκρινες, ἐξῆν
these-things defend-yourself then but when him you-prosecuted it-was-possible
σοι κατηγορεῖν καὶ λέγειν ὅ τι ἐβούλου.
for-you to-accuse and to-say that which you-wished
243 ἀλλὰ μὴν καὶ ἔπη τοῖς δικασταῖς ἔλεγες, οὐδένα μάρτυρ’
but truly also verses to-the jurors you-recited no witness
ἔχων ἐφ’ οἷς ἔκρινες τὸν ἄνθρωπον παρασχέσθαι·
having for what you-prosecuted the man to-produce

φήμη δ’ οὔ τις πάμπαν ἀπόλλυται, ἥντινα λαοὶ
rumor but not any wholly perishes which peoples
πολλοὶ φημίξωσι· θεός νύ τίς ἐστι καὶ αὐτή.
many noise-abroad a-god indeed some is also she-herself

οὐκοῦν, Αἰσχίνη, καὶ σὲ πάντες οὗτοι χρήματ' ἐκ τῆς
therefore Aeschines also you all these money from the
πρεσβείας φασὶν εἰληφέναι, ὥστε καὶ κατὰ σοῦ δήπουθεν
embassy say to-have-taken so-that also against you surely
'φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥντινα λαοὶ πολλοὶ
rumor but not any wholly perishes which peoples many
φημίξωσιν.'
noise-abroad
ὅσῳ γὰρ αὖ σὲ πλείους ἢ 'κεῖνον αἰτιῶνται, θεώρησον 244
by-how-much for again you more than him accuse consider
ὡς εἴσει. τὸν μὲν Τίμαρχον οὐδ' οἱ πρόσχωροι πάντες
as you-will-know — indeed Timarchus not-even the neighbors all
ἐγίγνωσκον, ὑμᾶς δὲ τοὺς πρέσβεις οὐδεὶς Ἑλλήνων οὐδὲ
knew you but the envoys no-one of-Greeks nor
βαρβάρων ἔσθ' ὅστις οὔ φησι χρήματ' ἐκ τῆς πρεσβείας
barbarians is who not says money from the embassy
εἰληφέναι. ὥστ', εἴπερ ἐστ' ἀληθὴς ἡ φήμη, καθ' ὑμῶν
to-have-taken so-that if-indeed is true the rumor against you
ἐστιν ἡ παρὰ τῶν πολλῶν, ἣν ὅτι πιστὴν εἶναι
is the-one from the many which that trustworthy to-be
δεῖ καὶ 'θεός νύ τίς ἐστι καὶ αὐτή,' καὶ ὅτι σοφὸς
is-needful and a-god indeed some is also she-herself and that wise
ἦν ὁ ποιητὴς ὁ ταῦτα ποιήσας, σὺ διώρισας αὐτός.
was the poet the-one these-things having-made you defined yourself

245 ἔτι τοίνυν ἰαμβεῖα δήπου συλλέξας ἐπέραινεν, οἷον
further then iambics surely having-collected he-concluded as

ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ,
whoever and consorting delights with-the-bad man
οὐ πώποτ' ἠρώτησα, γιγνώσκων ὅτι
not ever I-asked knowing that
τοιοῦτός ἐσθ' οἵοισπερ ἥδεται ξυνών.
such he-is as-the-very-ones he-delights being-with

εἶτα τὸν εἰς τοὺς ὄρνεις εἰσιόντα καὶ μετὰ Πιτταλάκου
then the-one into the birds going and with Pittalacus
περιόντα, καὶ τοιαῦτ' εἰπών, 'ἀγνοεῖτ',' ἔφη, 'ποῖόν τιν'
going-around and such-things having-said do-you-not-know he-said what-kind of-man
ἡγεῖσθαι δεῖ;' οὐκοῦν, Αἰσχίνη, καὶ κατὰ σοῦ τὰ ἰαμβεῖα
to-consider one-must therefore Aeschines also against you the iambics
ταῦθ' ἁρμόσει νῦν ἐμοί, κἂν ἐγὼ λέγω πρὸς τούτους, ὀρθῶς
these will-fit now for-me and-if I speak to these rightly
καὶ προσηκόντως ἐρῶ· 'ὅστις δ' ὁμιλῶν ἥδεται,' καὶ ταῦτα
and fittingly I-will-speak whoever and consorting delights and this
πρεσβεύων, Φιλοκράτει, 'οὐ πώποτ' ἠρώτησα, γιγνώσκων ὅτι'
being-envoy with-Philocrates not ever I-asked knowing that
ἀργύριον εἴληφ' οὗτος, ὥσπερ Φιλοκράτης ὁ ὁμολογῶν.
silver has-taken this-man just-as Philocrates the-one admitting
246 λογογράφους τοίνυν καὶ σοφιστὰς καλῶν τοὺς ἄλλους
speech-writers then and sophists calling the others
καὶ ὑβρίζειν πειρώμενος, αὐτὸς ἐξελεγχθήσεται τούτοις ὢν
and to-insult trying himself will-be-proved to-these being
ἔνοχος. ταῦτα μὲν γὰρ τὰ ἰαμβεῖ' ἐκ Φοίνικός ἐστιν
liable these indeed for the iambics from Phoenix are
Εὐριπίδου· τοῦτο δὲ τὸ δρᾶμ' οὐδεπώποτ' οὔτε Θεόδωρος οὔτ'
of-Euripides this but the play never either Theodorus or

Ἀριστόδημος ὑπεκρίναντο, οἷς οὗτος τὰ τρίτα λέγων
Aristodemus acted for-whom this-man the third-parts speaking
διετέλεσεν, ἀλλὰ Μόλων ἠγωνίζετο καὶ εἰ δή τις ἄλλος τῶν
continued but Molon performed and if indeed any other of-the
παλαιῶν ὑποκριτῶν. Ἀντιγόνην δὲ Σοφοκλέους πολλάκις μὲν
old actors Antigone but of-Sophocles often indeed
Θεόδωρος, πολλάκις δ' Ἀριστόδημος ὑποκέκριται, ἐν ᾗ
Theodorus often and Aristodemus has-acted in which
πεποιημέν' ἰαμβεῖα καλῶς καὶ συμφερόντως ὑμῖν πολλάκις
composed iambics finely and usefully for-you often
αὐτὸς εἰρηκὼς καὶ ἀκριβῶς ἐξεπιστάμενος παρέλιπεν.
himself having-spoken and accurately knowing-by-heart he-left-out
ἴστε γὰρ δήπου τοῦθ' ὅτι ἐν ἅπασι τοῖς δράμασι 247
you-know for surely this that in all the plays
τοῖς τραγικοῖς ἐξαίρετόν ἐστιν ὥσπερ γέρας τοῖς
the tragic set-apart it-is like a-privilege for-the
τριταγωνισταῖς τὸ τοὺς τυράννους καὶ τοὺς τὰ σκῆπτρ'
third-actors the the tyrants and the-ones the scepters
ἔχοντας εἰσιέναι. ταῦτα τοίνυν ἐν τῷ δράματι τούτῳ
holding to-come-on these then in the play this
σκέψασθ' ὁ Κρέων Αἰσχίνης οἷα λέγων πεποίηται τῷ
consider — Creon Aeschines what-things saying has-been-made by-the

ποιητῇ, ἃ οὔτε πρὸς αὑτὸν οὗτος ὑπὲρ τῆς πρεσβείας
poet which neither to himself this-man about the embassy
διελέχθη οὔτε πρὸς τοὺς δικαστὰς εἶπεν. λέγε.
spoke nor to the jurors said read

ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
impossible but of-every man to-learn-thoroughly
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
soul both and spirit and judgment before —
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
in-offices both and laws practiced he-appears
ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν
to-me for whoever all directing a-city
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
not the best lays-hold-of counsels
ἀλλ᾽ ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
but from fear some tongue having-locked keeps
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ·
basest to-be now both and long-ago seems
καὶ μείζον᾽ ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
and greater whoever instead-of the his-own fatherland
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
a-friend considers this-one nowhere I-say
ἐγὼ γάρ, ἴστω Ζεὺς ὁ πάνθ᾽ ὁρῶν ἀεί,
I for let-know Zeus the-one all-things seeing always
οὔτ᾽ ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
neither — I-would-keep-silent the ruin seeing
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,
coming to-the-citizens instead-of the safety

οὔτ᾽ ἂν φίλον ποτ᾽ ἄνδρα δυσμενῆ χθονὸς
nor — friend ever a-man hostile to-the-land
θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων ὅτι
I-would-make for-myself this knowing that
ἥδ᾽ ἐστὶν ἡ σῴζουσα, καὶ ταύτης ἔπι
she is the-one saving and her on
πλέοντες ὀρθῆς τοὺς φίλους ποιούμεθα.
sailing upright the friends we-make

τούτων οὐδὲν Αἰσχίνης εἶπε πρὸς αὑτὸν ἐν τῇ πρεσβείᾳ, 248
of-these nothing Aeschines said to himself on the embassy
ἀλλ᾽ ἀντὶ μὲν τῆς πόλεως τὴν Φιλίππου ξενίαν καὶ
but instead-of indeed the city the of-Philip guest-friendship and
φιλίαν πολλῷ μείζον᾽ ἡγήσαθ᾽ αὑτῷ καὶ λυσιτελεστέραν,
friendship by-much greater considered for-himself and more-profitable
ἐρρῶσθαι πολλὰ φράσας τῷ σοφῷ Σοφοκλεῖ, τὴν δ᾽
farewell much having-bidden to-the wise Sophocles the and
ἄτην ὁρῶν στείχουσαν ὁμοῦ, τὴν ἐπὶ Φωκέας στρατείαν,
ruin seeing coming near the against Phocians expedition
οὐ προεῖπεν οὐδὲ προεξήγγειλεν, ἀλλὰ τοὐναντίον συνέκρυψε
not foretold nor announced-beforehand but conversely helped-hide
καὶ συνέπραξε καὶ τοὺς βουλομένους εἰπεῖν διεκώλυσεν,
and helped-do and the-ones wishing to-speak prevented
οὐκ ἀναμνησθεὶς ὅτι ‘ἥδ᾽ ἐστὶν ἡ σῴζουσα καὶ ταύτης 249
not having-recalled that she is the-one saving and her
ἔπι᾽ τελοῦσα μὲν ἡ μήτηρ αὐτοῦ καὶ καθαίρουσα καὶ
on initiating indeed the mother of-him and purifying and
καρπουμένη τὰς τῶν χρωμένων οὐσίας ἐξέθρεψε τοσούτους
reaping the of-the clients property reared so-big
τουτουσί, διδάσκων δ᾽ ὁ πατὴρ γράμματα, ὡς ἐγὼ
these-here teaching and the father letters as I

τῶν πρεσβυτέρων ἀκούω, πρὸς τῷ τοῦ ἥρω τοῦ
from-the elders hear near the of-the hero the
ἰατροῦ, ὅπως ἠδύνατο, ἀλλ' οὖν ἐν ταύτῃ γ' ἔζη,
physician as he-could but anyway in this at-least he-lived
ὑπογραμματεύοντες δ' αὐτοὶ καὶ ὑπηρετοῦντες ἁπάσαις
serving-as-under-clerks and themselves and attending all
ταῖς ἀρχαῖς ἀργύριον εἰλήφεσαν, καὶ τὸ τελευταῖον ὑφ'
the magistracies silver they-had-got and the last by
ὑμῶν γραμματεῖς χειροτονηθέντες δύ' ἔτη διετράφησαν ἐν
you clerks elected two years were-maintained in
τῇ θόλῳ, πρεσβεύων δ' ἀπέσταλτο νῦν οὗτος ἐκ ταύτης.
the tholos as-envoy and had-been-sent now this-man from this
250 τούτων οὐδὲν ἐσκέψατο, οὐδ' ὅπως ὀρθὴ πλεύσεται
of-these nothing he-considered nor how upright it-will-sail
προείδετο, ἀλλ' ἀνέτρεψε καὶ κατέδυσε καὶ τὸ καθ' αὑτὸν
foresaw but overturned and sank and the for himself
ὅπως ἐπὶ τοῖς ἐχθροῖς ἔσται παρεσκεύασεν. εἶτ' οὐ σὺ
that in the enemies' it-will-be prepared then not you
σοφιστής; καὶ πονηρός γε. οὐ σὺ λογογράφος; καὶ θεοῖς
a-sophist and a-knave at-least not you a-speech-writer and to-gods
ἐχθρός γε· ὃς ἃ μὲν πολλάκις ἠγωνίσω καὶ ἀκριβῶς
hateful at-least who what indeed often you-performed and accurately
ἐξηπίστασο, ὑπερέβης, ἃ δ' οὐδεπώποτ' ἐν τῷ βίῳ
knew skipped what but never in the life
ὑπεκρίνω, ταῦτα ζητήσας ἐπὶ τῷ τῶν πολιτῶν βλάψαι
you-acted these having-sought for the of-the citizens to-harm
τιν' εἰς μέσον ἤνεγκας.
someone into midst brought

Against Timarchus, Aeschines held up the statue of Solon at Salamis, hand inside his cloak, as a model of restraint and imitated its pose; but the statue is not fifty years old, and he never imitated Solon's mind. Solon risked death to recover Salamis, while Aeschines gave up Amphipolis and never named it before Philip. Demosthenes has Solon's elegy read, on a city the gods protect but its citizens ruin for money. A disease of bribery is spreading through Greece, in Thessaly, Elis, Arcadia, and Argos. The Olynthians, when weak, held off Sparta, which then ruled land and sea; once Lasthenes, Euthycrates, and others took Philip's gifts, they lost every city within a year, and their commanders betrayed five hundred horsemen to him. Athens rightly condemned the Olynthian traitors and must now punish its own, as its ancestors would.

φέρε δὴ καὶ περὶ τοῦ Σόλωνος ὃν εἶπε λόγον 251
come indeed also about — Solon which he-told story
σκέψασθε. ἔφη τὸν Σόλων' ἀνακεῖσθαι τῆς τῶν τότε
consider he-said — Solon to-stand-dedicated of-the of-the then
δημηγορούντων σωφροσύνης παράδειγμα, εἴσω τὴν χεῖρ'
public-speakers restraint as-model inside the hand
ἔχοντ' ἀναβεβλημένον, ἐπιπλήττων τι καὶ λοιδορούμενος
holding wrapped-in-his-cloak rebuking somewhat and reviling
τῇ τοῦ Τιμάρχου προπετείᾳ. καίτοι τὸν μὲν ἀνδριάντα
the — of-Timarchus recklessness and-yet the indeed statue
τοῦτον οὔπω πεντήκοντ' ἔτη φάσ' ἀνακεῖσθαι Σαλαμίνιοι,
this not-yet fifty years say to-have-stood Salaminians
ἀπὸ Σόλωνος δ' ὁμοῦ διακόσι' ἐστὶν ἔτη καὶ τετταράκοντ'
from Solon but about two-hundred are years and forty
εἰς τὸν νυνὶ παρόντα χρόνον, ὥσθ' ὁ δημιουργὸς ὁ
to the now present time so-that the craftsman the-one

τοῦτο πλάσας τὸ σχῆμα οὐ μόνον οὐκ αὐτὸς ἦν
this having-modeled the pose not only not himself was
κατ' ἐκεῖνον, ἀλλ' οὐδ' ὁ πάππος αὐτοῦ.
in-the-time-of him but not-even the grandfather of-him
252 τοῦτο μὲν τοίνυν εἶπε τοῖς δικασταῖς καὶ ἐμιμήσατο· ὃ δὲ
this indeed then he-told to-the jurors and imitated what but
τοῦ σχήματος ἦν τούτου πολλῷ τῇ πόλει λυσιτελέστερον,
than-the pose was this by-much for-the city more-profitable
τὸ τὴν ψυχὴν τὴν Σόλωνος ἰδεῖν καὶ τὴν διάνοιαν, ταύτην
the the soul the of-Solon to-see and the mind this
οὐκ ἐμιμήσατο, ἀλλὰ πᾶν τοὐναντίον. ἐκεῖνος μέν γ'
not he-imitated but all the-opposite he indeed at-least
ἀφεστηκυίας Σαλαμῖνος Ἀθηναίων καὶ θάνατον ζημίαν
having-revolted Salamis Athenians and death penalty
ψηφισαμένων, ἄν τις εἴπῃ κομίζεσθαι, τὸν ἴδιον κίνδυνον
having-voted if anyone proposes to-recover the own risk
ὑποθεὶς ἐλεγεῖα ποιήσας ᾖδε, καὶ τὴν μὲν χώραν ἀνέσωσε
having-staked elegies having-composed sang and the indeed land recovered
τῇ πόλει, τὴν δ' ὑπάρχουσαν αἰσχύνην ἀπήλλαξεν·
for-the city the and existing shame removed
253 οὗτος δ', ἣν βασιλεὺς καὶ πάντες οἱ Ἕλληνες ὑμετέραν
this-man but which king and all the Greeks yours
ἔγνωσαν, Ἀμφίπολιν, ταύτην ἐξέδωκε καὶ ἀπέδοτο καὶ τῷ
recognized Amphipolis this surrendered and sold and the-one
ταῦτα γράφοντι συνεῖπε Φιλοκράτει. ἄξιόν γ', οὐ γάρ;
these-things proposing supported Philocrates worthy at-least not for
ἦν Σόλωνος αὐτῷ μεμνῆσθαι. καὶ οὐ μόνον ἐνταῦθα ταῦτ'
was of-Solon for-him to-make-mention and not only here these-things
ἐποίησεν, ἀλλ' ἐκεῖσ' ἐλθὼν οὐδὲ τοὔνομ' ἐφθέγξατο
he-did but there having-gone not-even the-name uttered
τῆς χώρας ὑπὲρ ἧς ἐπρέσβευεν. καὶ ταῦτ' αὐτὸς
of-the land for which he-was-envoy and these-things himself

ἀπήγγειλε πρὸς ὑμᾶς· μέμνησθε γὰρ δήπου λέγοντ' αὐτὸν
reported to you you-remember for surely saying him
ὅτι περὶ δ' Ἀμφιπόλεως εἶχον μὲν κἀγὼ λέγειν· ἵνα
that about and Amphipolis had indeed I-too to-say so-that
δ' ἐγγένηται Δημοσθένει περὶ αὐτῆς εἰπεῖν, παρέλιπον.
but it-might-be-open for-Demosthenes about it to-speak I-passed-over
ἐγὼ δὲ παρελθὼν οὐδὲν ἔφην τοῦτον ὧν ἐβούλετ' 254
I but having-come-forward nothing said this-man of-what he-wished
εἰπεῖν πρὸς Φίλιππον ἐμοὶ παραλιπεῖν· θᾶττον γὰρ ἂν τοῦ
to-say to Philip for-me to-have-left sooner for — of-the
αἵματος ἢ λόγου μεταδοῦναί τινι. ἀλλ', οἶμαι, χρήματ'
blood than of-speech to-give-a-share to-anyone but I-think money
εἰληφότ' οὐκ ἦν ἀντιλέγειν πρὸς Φίλιππον τὸν ὑπὲρ
having-taken not it-was-possible to-speak-against to Philip the-one for
τούτου δεδωκότα, ὅπως ἐκείνην μὴ ἀποδῷ. λέγε δή μοι
this having-given so-that it not he-restore read indeed for-me
λαβὼν καὶ τὰ τοῦ Σόλωνος ἐλεγεῖα ταυτί, ἵν' ἴδηθ'
having-taken also the — of-Solon elegiacs these-here so-that you-may-see
ὅτι καὶ Σόλων ἐμίσει τοὺς οἵους οὗτος ἀνθρώπους.
that also Solon hated the such-as this-man men
οὐ λέγειν εἴσω τὴν χεῖρ' ἔχοντ', Αἰσχίνη, δεῖ, οὔ, ἀλλὰ 255
not to-speak inside the hand holding Aeschines one-must no but
πρεσβεύειν εἴσω τὴν χεῖρ' ἔχοντα. σὺ δ' ἐκεῖ προτείνας καὶ
to-serve-as-envoy inside the hand holding you but there having-held-out and
ὑποσχὼν καὶ καταισχύνας τούτους ἐνθάδε σεμνολογεῖ,
having-held-under and having-disgraced these here you-speak-solemnly
καὶ λογάρια δύστηνα μελετήσας καὶ φωνασκήσας
and little-speeches wretched having-rehearsed and having-trained-your-voice
οὐκ οἴει δίκην δώσειν τηλικούτων καὶ τοσούτων
not do-you-think penalty to-be-going-to-pay for-so-great and so-many

ἀδικημάτων, κἂν πιλίδιον λαβὼν περὶ τὴν κεφαλὴν
wrongs even-if a-little-cap having-put around the head
περινοστῇς καὶ ἐμοὶ λοιδορῇ; λέγε σύ.
you-go-about and me you-revile read you

Ἡμετέρη δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται
Our and city by indeed of-Zeus never will-perish
αἶσαν καὶ μακάρων θεῶν φρένας ἀθανάτων·
decree and of-blessed gods intents immortal
τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
such for great-hearted guardian mighty-fathered
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει.
Pallas Athena hands above holds
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν
themselves but to-destroy great city by-follies
ἀστοὶ βούλονται, χρήμασι πειθόμενοι,
citizens wish by-money persuaded
δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον
of-the-people and of-leaders unjust mind for-whom ready
ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν.
insolence from great pains many to-suffer
οὐ γὰρ ἐπίστανται κατέχειν κόρον, οὐδὲ παρούσας
not for they-know-how to-restrain excess nor present
εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ.
festivities to-order of-the-feast in quiet

***

(lacuna)

πλουτοῦσιν δ' ἀδίκοις ἔργμασι πειθόμενοι.
they-grow-rich and by-unjust deeds trusting

***

(lacuna)

οὔθ᾽ ἱερῶν κτεάνων οὔτε τι δημοσίων

neither sacred possessions nor at-all public

φειδόμενοι †κλέπτουσιν ἐφ᾽ ἁρπαγῇ† ἄλλοθεν ἄλλος,

sparing they-steal for plunder from-elsewhere another

οὐδὲ φυλάσσονται σεμνὰ θέμεθλα Δίκης,

nor they-guard holy foundations of-Justice

ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα πρό τ᾽ ἐόντα,

who being-silent knows the happening before and being

τῷ δὲ χρόνῳ πάντως ἦλθ᾽ ἀποτεισομένη.

in-the but time surely came to-exact-vengeance

τοῦτ᾽ ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον,

this now on-every city comes a-wound inescapable

εἰς δὲ κακὴν ταχέως †ἤλυθε† δουλοσύνην,

into and evil quickly has-come slavery

ἣ στάσιν ἔμφυλον πόλεμόν θ᾽ εὕδοντ᾽ ἐπεγείρει,

which faction civil war and sleeping rouses

ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην.

which of-many lovely destroys youth

ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ

by for enemies quickly much-loved town

τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι φίλαις.

is-worn-down in gatherings to-the unjust dear

ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν

these-things indeed among people turn-about evils of-the and poor

ἱκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπήν,

arrive many land to foreign

πραθέντες δεσμοῖσί τ᾽ ἀεικελίοισι δεθέντες.

sold with-bonds and shameful bound

***

(lacuna)

οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ,

thus public evil comes home to-each

αὐλειοι δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι,

courtyard and still to-hold not are-willing doors

ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ πάντως,

high and over fence it-leaps it-finds and surely

εἰ καί τις φεύγων ἐν μυχῷ ᾖ θαλάμου.

if even anyone fleeing in innermost-corner be of-the-chamber

ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,

these-things to-teach heart Athenians me bids

ὡς κακὰ πλεῖστα πόλει δυσνομίη παρέχει,

how evils most to-a-city lawlessness brings

εὐνομίη δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει,

lawfulness but orderly and sound all-things shows

καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας,

and often on-the unjust puts-around fetters

τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,

rough-things it-smooths stops excess insolence dims

αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,

withers and of-ruin flowers growing

εὐθύνει δὲ δίκας σκολιάς, ὑπερήφανά τ' ἔργα

straightens and judgments crooked arrogant and deeds

πραΰνει, παύει δ' ἔργα διχοστασίης,

softens stops and deeds of-dissension

παύει δ' ἀργαλέης ἔριδος χόλον· ἔστι δ' ὑπ' αὐτῆς

stops and of-grievous strife anger are and under it

πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά.

all-things among men sound and wise

ἀκούετ', ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τῶν τοιούτων ἀνθρώπων 256
you-hear O men Athenians about the such men
οἷα Σόλων λέγει, καὶ περὶ τῶν θεῶν, οὕς φησι τὴν
what Solon says and about the gods who he-says the
πόλιν σῴζειν. ἐγὼ δ' ἀεὶ μὲν ἀληθῆ τὸν λόγον τοῦτον
city to-save I and always indeed true the saying this
ἡγοῦμαι καὶ βούλομαι, ὡς ἄρ' οἱ θεοὶ σῴζουσιν ἡμῶν τὴν
think and wish that truly the gods save our the
πόλιν· τρόπον δέ τιν' ἡγοῦμαι καὶ τὰ νῦν συμβεβηκότα
city in-a-way and some I-think also the now happened
πάντ' ἐπὶ ταῖς εὐθύναις ταυταισὶ δαιμονίας τινὸς εὐνοίας
all at the audits these-here of-divine some goodwill
ἔνδειγμα τῇ πόλει γεγενῆσθαι.
a-proof for-the city to-have-been
σκοπεῖτε γάρ. ἄνθρωπος πολλὰ καὶ δεινὰ πρεσβεύσας, 257
consider for a-man many and terrible-things having-done-as-envoy
καὶ χώρας ἐκδεδωκὼς ἐν αἷς τοὺς θεοὺς ὑφ' ὑμῶν καὶ τῶν
and lands having-surrendered in which the gods by you and the
συμμάχων τιμᾶσθαι προσῆκεν, ἠτίμωσ' ὑπακούσαντά
allies to-be-honored it-befitted disfranchised having-answered-the-summons
τιν' αὐτοῦ κατήγορον. ἵνα τί; ἵνα μήτ' ἐλέου μήτε
someone of-him accuser so-that what so-that neither pity nor
συγγνώμης ἐφ' οἷς αὐτὸς ἠδίκηκεν τύχῃ. ἀλλὰ καὶ
pardon for what himself he-has-done-wrong he-may-get but also
κατηγορῶν ἐκείνου κακῶς λέγειν προείλετ' ἐμέ, καὶ πάλιν
accusing him ill to-speak chose me and again
ἐν τῷ δήμῳ γραφὰς ἀποίσειν καὶ τοιαῦτ' ἠπείλει.
in the assembly indictments to-be-going-to-bring and such-things threatened
ἵνα τί; ἵν' ὡς μετὰ πλείστης συγγνώμης παρ' ὑμῶν
so-that what so-that as with most pardon from you

ὁ τὰ τούτου πονηρεύματ᾽ ἀκριβέστατ᾽ εἰδὼς ἐγὼ καὶ
the-one the of-this-man villainies most-exactly knowing I and
παρηκολουθηκὼς ἅπασι κατηγορῶ.
having-followed all accuse
258 ἀλλὰ καὶ διακρουόμενος πάντα τὸν ἔμπροσθεν χρόνον
but also putting-off all the earlier time
εἰσελθεῖν εἰς τοιοῦτον ὑπῆκται καιρὸν ἐν ᾧ τῶν
to-come-to-court into such he-has-been-drawn a-moment in which of-the
ἐπιόντων ἕνεκα, εἰ μηδενὸς ἄλλου, οὐχ οἷόν τ᾽ οὐδ᾽ ἀσφαλὲς
coming-things for-the-sake if of-nothing other not possible — nor safe
ὑμῖν δεδωροδοκηκότα τοῦτον ἀθῷον ἐâσαι· ἀεὶ μὲν γάρ,
for-you having-taken-bribes this-man unpunished to-let always indeed for
ὦ ἄνδρες Ἀθηναῖοι, προσήκει μισεῖν καὶ κολάζειν τοὺς
O men Athenians it-befits to-hate and to-punish the
προδότας καὶ δωροδόκους, μάλιστα δὲ νῦν ἐπὶ καιροῦ
traitors and bribe-takers most but now at the-right-moment
τοῦτο γένοιτ᾽ ἂν καὶ πάντας ὠφελήσειεν ἀνθρώπους κοινῇ.
this would-be — and all would-benefit men in-common
259 νόσημα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς
a-disease for O men Athenians terrible has-fallen-upon into
τὴν Ἑλλάδα, καὶ χαλεπὸν καὶ πολλῆς τινὸς εὐτυχίας καὶ
— Greece and grievous and of-much some good-fortune and
παρ᾽ ὑμῶν ἐπιμελείας δεόμενον. οἱ γὰρ ἐν ταῖς πόλεσι
from you care needing the for in the cities
γνωριμώτατοι καὶ προεστάναι τῶν κοινῶν ἀξιούμενοι,
most-notable and to-lead the public-affairs deemed-worthy
τὴν αὑτῶν προδιδόντες ἐλευθερίαν οἱ δυστυχεῖς, αὐθαίρετον
the their-own betraying freedom the wretched self-chosen
αὑτοῖς ἐπάγονται δουλείαν, Φιλίππῳ ξενίαν καὶ
on-themselves bring slavery with-Philip guest-friendship and
ἑταιρίαν καὶ τοιαῦθ᾽ ὑποκοριζόμενοι· οἱ δὲ λοιποὶ καὶ τὰ
comradeship and such-things calling-it-by-pet-names the and rest and the

κύρι᾽ ἄττα ποτ᾽ ἔστ᾽ ἐν ἑκάστῃ τῶν πόλεων, οὓς ἔδει
authorities whatever ever are in each of-the cities who ought
τούτους κολάζειν καὶ παραχρῆμ᾽ ἀποκτιννύναι, τοσοῦτ᾽
these to-punish and at-once to-kill so-far
ἀπέχουσι τοῦ τοιοῦτόν τι ποιεῖν ὥστε θαυμάζουσι καὶ
they-are-from the such anything to-do that they-admire and
ζηλοῦσι καὶ βούλοιντ᾽ ἂν αὐτὸς ἕκαστος τοιοῦτος εἶναι.
envy and would-wish — himself each such to-be
καίτοι τοῦτο τὸ πρᾶγμα καὶ τὰ τοιαῦτα ζηλώματα Θετταλῶν 260
and-yet this the thing and the such ambitions of-Thessalians
μέν, ὦ ἄνδρες Ἀθηναῖοι, μέχρι μὲν χθὲς ἢ πρώην
indeed O men Athenians until indeed yesterday or the-day-before
τὴν ἡγεμονίαν καὶ τὸ κοινὸν ἀξίωμ᾽ ἀπωλωλέκει, νῦν δ᾽
the leadership and the common standing had-destroyed now but
ἤδη καὶ τὴν ἐλευθερίαν παραιρεῖται· τὰς γὰρ ἀκροπόλεις
already also the freedom takes-away the for citadels
αὐτῶν ἐνίων Μακεδόνες φρουροῦσιν· εἰς Πελοπόννησον δ᾽
of-them of-some Macedonians garrison into Peloponnese and
εἰσελθὸν τὰς ἐν Ἤλιδι σφαγὰς πεποίηκε, καὶ τοσαύτης
having-entered the in Elis massacres has-made and with-such
παρανοίας καὶ μανίας ἐνέπλησε τοὺς ταλαιπώρους ἐκείνους
derangement and madness has-filled the wretched those
ὥσθ᾽, ἵν᾽ ἀλλήλων ἄρχωσι καὶ Φιλίππῳ χαρίζωνται,
that so-that each-other they-may-rule and Philip please
συγγενεῖς αὑτῶν καὶ πολίτας μιαιφονεῖν.
kinsmen their-own and citizens to-murder
καὶ οὐδ᾽ ἐνταῦθ᾽ ἕστηκεν, ἀλλ᾽ εἰς Ἀρκαδίαν εἰσελθὸν 261
and not-even there it-has-stopped but into Arcadia having-entered
πάντ᾽ ἄνω καὶ κάτω τἀκεῖ πεποίηκε, καὶ νῦν Ἀρκάδων
all up and down the-things-there has-made and now of-Arcadians
πολλοί, προσῆκον αὐτοῖς ἐπ᾽ ἐλευθερίᾳ μέγιστον φρονεῖν
many it-befitting them on freedom most to-pride-themselves

ὁμοίως ὑμῖν (μόνοι γὰρ πάντων αὐτόχθονες ὑμεῖς ἐστε
like you alone for of-all native-born you are
κἀκεῖνοι) Φίλιππον θαυμάζουσι καὶ χαλκοῦν ἱστᾶσι καὶ
and-they Philip admire and in-bronze set-up and
στεφανοῦσι, καὶ τὸ τελευταῖον, ἂν εἰς Πελοπόννησον ἴῃ,
crown and the last if into Peloponnese he-goes
δέχεσθαι ταῖς πόλεσιν εἰσὶν ἐψηφισμένοι.
to-receive in-the cities they-have voted

262 ταὐτὰ δὲ ταῦτ' Ἀργεῖοι. ταῦτα νὴ τὴν Δήμητρα, εἰ
the-same and these-things Argives these-things by — Demeter if
δεῖ μὴ ληρεῖν, εὐλαβείας οὐ μικρᾶς δεῖται, ὡς βαδίζον
one-must not talk-nonsense of-caution not small needs as going
γε κύκλῳ καὶ δεῦρ' ἐλήλυθεν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ
at-least round also here has-come O men Athenians the
νόσημα τοῦτο. ἕως οὖν ἔτ' ἐν ἀσφαλεῖ, φυλάξασθε καὶ
disease this while then still in safety guard-against-it and
τοὺς πρώτους εἰσαγαγόντας ἀτιμώσατε· εἰ δὲ μή, σκοπεῖθ'
the first having-introduced-it disfranchise if but not see
ὅπως μὴ τηνικαῦτ' εὖ λέγεσθαι δόξει τὰ νῦν εἰρημένα,
that not then well to-be-said will-seem the now said-things
ὅτ' οὐδ' ὅ τι χρὴ ποιεῖν ἕξετε.
when not-even that which one-must do you-will-have

263 οὐχ ὁρᾶθ' ὡς ἐναργές, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σαφὲς
not you-see how vivid O men Athenians and clear
παράδειγμ' οἱ ταλαίπωροι γεγόνασιν Ὀλύνθιοι; οἳ παρ'
an-example the wretched have-become Olynthians who because-of
οὐδὲν οὕτως ὡς τὸ τοιαῦτα ποιεῖν ἀπολώλασιν οἱ δείλαιοι.
nothing so as the such-things to-do have-perished the poor-wretches
ἔχοιτε δ' ἂν ἐξετάσαι καθαρῶς ἐκ τῶν συμβεβηκότων
you-could and — to-examine clearly from the things-happened
αὐτοῖς. ἐκεῖνοι γάρ, ἡνίκα μὲν τετρακοσίους ἱππέας
to-them they for when indeed four-hundred horsemen

ἐκέκτηντο μόνον καὶ σύμπαντες οὐδὲν ἦσαν πλείους
possessed only and all-together nothing were more
πεντακισχιλίων τὸν ἀριθμόν, οὔπω Χαλκιδέων πάντων
than-five-thousand in-the number not-yet Chalcidians all
εἰς ἓν συνῳκισμένων,
into one united
Λακεδαιμονίων ἐπ᾽ αὐτοὺς ἐλθόντων πολλῇ καὶ πεζῇ 264
Lacedaemonians against them having-come with-great both land
καὶ ναυτικῇ δυνάμει (ἴστε γὰρ δήπου τοῦθ᾽ ὅτι γῆς
and naval force you-know for surely this that land
καὶ θαλάττης ἦρχον ὡς ἔπος εἰπεῖν Λακεδαιμόνιοι κατ᾽
and sea ruled as word to-say Lacedaemonians in
ἐκείνους τοὺς χρόνους), ἀλλ᾽ ὅμως τηλικαύτης ἐπ᾽
those the times but nevertheless so-great against
αὐτοὺς ἐλθούσης δυνάμεως οὔτε τὴν πόλιν οὔτε φρούριον
them having-come force neither the city nor fort
οὐδὲν ἀπώλεσαν, ἀλλὰ καὶ μάχας πολλὰς ἐκράτησαν καὶ
any they-lost but also battles many won and
τρεῖς τῶν πολεμάρχων ἀπέκτειναν καὶ τὸ τελευταῖον,
three of-the polemarchs killed and the last
ὅπως ἐβούλοντο, οὕτω τὸν πόλεμον κατέθεντο.
as they-wished so the war ended
ἐπειδὴ δὲ δωροδοκεῖν ἤρξαντό τινες, καὶ δι᾽ ἀβελτερίαν 265
when but to-take-bribes began some and through stupidity
οἱ πολλοί, μᾶλλον δὲ διὰ δυστυχίαν, τούτους πιστοτέρους
the many rather but through misfortune these more-trustworthy
ἡγήσαντο τῶν ὑπὲρ αὑτῶν λεγόντων, καὶ Λασθένης
considered than-the-ones for themselves speaking and Lasthenes
μὲν ἤρεψε τὴν οἰκίαν τοῖς ἐκ Μακεδονίας ξύλοις,
indeed roofed the house with-the from Macedonia timbers
Εὐθυκράτης δὲ βοῦς ἔτρεφεν πολλὰς τιμὴν οὐδενὶ δούς,
Euthycrates and cattle kept many price to-no-one having-paid

ἕτερος δέ τις ἦκεν ἔχων πρόβατα, ἄλλος δέ τις
another and someone came having sheep another and someone
ἵππους, οἱ δὲ πολλοί, καθ' ὧν ταῦτ' ἐγίγνετο, οὐχ
horses the but many against whom these-things were-happening not
ὅπως ὠργίζοντο ἢ κολάζειν ἠξίουν τοὺς ταῦτα ποιοῦντας,
that were-angry or to-punish thought-fit the-ones these-things doing
ἀλλ' ἀπέβλεπον, ἐζήλουν, ἐτίμων, ἄνδρας ἡγοῦντο·
but they-gazed-at envied honored men considered
266 ἐπειδὴ ταῦθ' οὕτω προήγετο καὶ τὸ δωροδοκεῖν ἐκράτησε,
when these-things so advanced and the bribe-taking prevailed
χιλίους μὲν ἱππέας κεκτημένοι, πλείους δ' ὄντες ἢ
thousand indeed horsemen possessing more and being than
μύριοι, πάντας δὲ τοὺς περιχώρους ἔχοντες συμμάχους,
ten-thousand all and the neighbors having as-allies
μυρίοις δὲ ξένοις καὶ τριήρεσι πεντήκονθ' ὑμῶν
with-ten-thousand and mercenaries and triremes fifty you
βοηθησάντων αὐτοῖς, καὶ ἔτι τῶν πολιτῶν τετρακισχιλίοις,
having-helped them and further of-the citizens four-thousand
οὐδὲν αὐτοὺς τούτων ἐδυνήθη σῶσαι, ἀλλὰ πρὶν μὲν ἐξελθεῖν
nothing them of-these could save but before indeed to-go-out
ἐνιαυτὸν τοῦ πολέμου τὰς πόλεις ἁπάσας ἀπωλωλέκεσαν
a-year of-the war the cities all they-had-lost
τὰς ἐν τῇ Χαλκιδικῇ, καὶ Φίλιππος οὐκέτ' εἶχεν ὑπακούειν
the-ones in the Chalcidice and Philip no-longer could to-attend-to
τοῖς προδιδοῦσιν, οὐδ' ὅ τι πρῶτον λάβῃ.
the-ones betraying nor that which first be-should-take
267 πεντακοσίους δ' ἱππέας προδοθέντας ὑπ' αὐτῶν τῶν
five-hundred and horsemen betrayed by themselves the
ἡγουμένων ἔλαβεν αὐτοῖς ὅπλοις ὁ Φίλιππος, ὅσους οὐδεὶς
commanders took with-their arms — Philip as-many-as no
πώποτ' ἄλλος ἀνθρώπων. καὶ οὔτε τὸν ἥλιον ᾐσχύνονθ'
ever other of-men and neither the sun felt-shame-before

οἱ ταῦτα ποιοῦντες οὔτε τὴν γῆν πατρίδ᾽ οὖσαν, ἐφ᾽
the-ones these-things doing nor the earth fatherland being on
ἧς ἔστασαν, οὔθ᾽ ἱερὰ οὔτε τάφους οὔτε τὴν μετὰ ταῦτα
which they-stood nor temples nor tombs nor the after these-things
γενησομένην αἰσχύνην ἐπὶ τοιούτοις ἔργοις· οὕτως ἔκφρονας,
going-to-come shame for such deeds so senseless
ὦ ἄνδρες Ἀθηναῖοι, καὶ παραπλῆγας τὸ δωροδοκεῖν ποιεῖ.
O men Athenians and frantic the bribe-taking makes
ὑμᾶς οὖν, ὑμᾶς εὖ φρονεῖν δεῖ τοὺς πολλούς, καὶ μὴ
you then you well to-think it-is-needful the many and not
ἐπιτρέπειν τὰ τοιαῦτα, ἀλλὰ κολάζειν δημοσίᾳ. καὶ γὰρ
to-permit the such-things but to-punish publicly and for
ἂν καὶ ὑπερφυὲς εἴη, εἰ κατὰ μὲν τῶν Ὀλυνθίους
— also monstrous it-would-be if against indeed the-ones Olynthians
προδόντων πολλὰ καὶ δεί᾽ ἐψηφίσασθε, τοὺς δὲ παρ᾽
having-betrayed many and terrible-things you-voted the-ones but among
ὑμῖν αὐτοῖς ἀδικοῦντας μὴ κολάζοντες φαίνοισθε. λέγε
you yourselves doing-wrong not punishing you-should-appear read
τὸ ψήφισμα τὸ περὶ τῶν Ὀλυνθίων.
the decree the about the Olynthians
ταῦθ᾽ ὑμεῖς, ὦ ἄνδρες δικασταί, ὀρθῶς καὶ καλῶς 268
these-things you O men jurors rightly and finely
πᾶσιν Ἕλλησι καὶ βαρβάροις δοκεῖτ᾽ ἐψηφίσθαι κατ᾽
to-all Greeks and barbarians you-seem to-have-voted against
ἀνδρῶν προδοτῶν καὶ θεοῖς ἐχθρῶν. ἐπειδὴ τοίνυν τὸ
men traitors and to-gods hateful since then the
δωροδοκεῖν πρότερον τοῦ τὰ τοιαῦτα ποιεῖν ἐστι καὶ
bribe-taking earlier than-the the such-things to-do is and
δι᾽ ἐκεῖνο καὶ τάδε πράττουσί τινες, ὃν ἄν,
because-of that also these-things do some whomever —
ὦ ἄνδρες Ἀθηναῖοι, δωροδοκοῦντ᾽ ἴδητε, τοῦτον καὶ
O men Athenians taking-bribes you-see this-man also

προδότην εἶναι νομίζετε. εἰ δ' ὁ μὲν καιρούς, ὁ
a-traitor to-be consider if and the-one indeed occasions the-other
δὲ πράγματα, ὁ δὲ στρατιώτας προδίδωσιν, ὧν
and affairs the-other and soldiers betrays of-whatever
ἂν ἕκαστος, οἶμαι, κύριος γένηται, ταῦτα διαφθείρει·
— each I-think master becomes these-things he-ruins
μισεῖν δ' ὁμοίως τοὺς τοιούτους πάντας προσήκει.
to-hate and alike the such all befits
269 ἔστι δ' ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τούτων μόνοις
it-is-possible and for-you O men Athenians about these-things alone
τῶν πάντων ἀνθρώπων οἰκείοις χρῆσθαι παραδείγμασι, καὶ
of-the all men own to-use examples and
τοὺς προγόνους, οὓς ἐπαινεῖτε δικαίως, ἔργῳ μιμεῖσθαι.
the ancestors whom you-praise justly in-fact to-imitate
καὶ γὰρ εἰ μὴ τὰς μάχας μηδὲ τὰς στρατείας μηδὲ τοὺς
even for if not the battles nor the campaigns nor the
κινδύνους, ἐν οἷς ἦσαν ἐκεῖνοι λαμπροί, συμβαίνει καιρός,
dangers in which were they illustrious comes occasion
ἀλλ' ἄγεθ' ἡσυχίαν ὑμεῖς ἐν τῷ παρόντι, ἀλλὰ τό γ'
but you-keep quiet you in the present but the at-least
εὖ φρονεῖν αὐτῶν μιμεῖσθε.
well to-think of-them imitate

XVII · ARTHMIUS AND THE ANCESTORS

Demosthenes has the ancestors' decree read: Arthmius of Zeleia, who brought the barbarians' gold to the Greeks, was declared an enemy of the Athenians and their allies, he and all his family, on a stele that still stands beside the great bronze Athena on the Acropolis. Callias, who made the famous peace with the king, was nearly put to death and fined fifty talents at his audit for seeming to take gifts. Within living memory envoys who did far less harm were condemned to death, Epicrates, a restorer of the democracy, among them, and Thrasybulus was fined ten talents; yet the jurors would acquit the son of Atrometus and Glaucothea. Demosthenes turns Aeschines' words against Timarchus back on him: a city needs sinews against wrongdoers. Timarchus proposed death for anyone carrying arms or ship's gear to Philip; Aeschines, who handed the allies' arms to Philip, prosecuted him.

τούτου γὰρ πανταχοῦ χρεία, καὶ οὐδέν ἐστι 270
of-this for everywhere need and nothing is
πραγματωδέστερον οὐδ' ὀχληρότερον τὸ καλῶς φρονεῖν
more-troublesome nor more-burdensome the well to-think
τοῦ κακῶς, ἀλλ' ἐν τῷ ἴσῳ χρόνῳ νυνὶ καθήμενος ὑμῶν
than-the badly but in the equal time now sitting of-you
ἕκαστος, ἂν μὲν ἃ χρὴ γιγνώσκῃ περὶ τῶν πραγμάτων
each if indeed what one-must he-judges about the affairs
καὶ ψηφίζηται, βελτίω τὰ κοινὰ ποιήσει τῇ πόλει καὶ
and votes better the common-affairs will-make for-the city and
ἄξια τῶν προγόνων πράξει, ἂν δ' ἃ μὴ δεῖ, φαυλότερα,
worthy of-the ancestors will-do if but what not one-should worse
καὶ ἀνάξια τῶν προγόνων ποιήσει. τί οὖν ἐκεῖνοι περὶ
and unworthy of-the ancestors will-make what then they about
τούτων ἐφρόνουν; ταυτὶ λαβὼν ἀνάγνωθι, γραμματεῦ·
these-things thought these-here having-taken read-aloud clerk

δεῖ γὰρ ὑμᾶς ἰδεῖν ὅτι ἐπὶ τοῖς τοιούτοις ἔργοις
one-must for you to-see that over the such deeds
ῥᾳθυμεῖτε, ὧν θάνατον κατεγνώκασιν οἱ πρόγονοι. λέγε.
you-are-indifferent for-which death have-decreed the ancestors read
271 ἀκούετ', ὦ ἄνδρες Ἀθηναῖοι, τῶν γραμμάτων λεγόντων
you-hear O men Athenians the inscription saying
Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην ἐχθρὸν εἶναι καὶ
Arthmius the of-Pythonax the Zeleite hostile to-be and
πολέμιον τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῶν συμμάχων αὐτὸν
enemy of-the people the of-Athenians and of-the allies himself
καὶ γένος πᾶν. διὰ τί; ὅτι τὸν χρυσὸν τὸν ἐκ τῶν
and race all because-of what because the gold the from the
βαρβάρων εἰς τοὺς Ἕλληνας ἤγαγεν. οὐκοῦν ἔστιν, ὡς
barbarians to the Greeks he-brought therefore it-is-possible as
ἔοικεν, ἐκ τούτων ἰδεῖν ὅτι οἱ πρόγονοι μὲν ὑμῶν, ὅπως
it-seems from these-things to-see that the ancestors indeed of-you that
μηδ' ἄλλος ἀνθρώπων μηδεὶς ἐπὶ χρήμασι μηδὲν ἐργάσεται
not-even other of-men any for money anything will-do
κακὸν τὴν Ἑλλάδα, ἐφρόντιζον, ὑμεῖς δ' οὐδὲ τὴν πόλιν
harm — Greece took-care you but not-even the city
αὐτὴν ὅπως μηδεὶς τῶν πολιτῶν ἀδικήσει προορᾶσθε.
itself that no-one of-the citizens will-wrong you-take-forethought
272 νὴ Δί', ἀλλ' ὅπως ἔτυχεν ταῦτα τὰ γράμματ' ἔστηκεν.
by Zeus but as it-happened these the letters stand
ἀλλ' ὅλης οὔσης ἱερᾶς τῆς ἀκροπόλεως ταυτησὶ καὶ
but whole being sacred the acropolis this-here and
πολλὴν εὐρυχωρίαν ἐχούσης, παρὰ τὴν χαλκῆν τὴν
much open-space having beside the bronze the
μεγάλην Ἀθηνᾶν ἐκ δεξιᾶς ἕστηκεν, ἣν ἀριστεῖον ἡ
great Athena on the-right it-stands which as-prize-of-valor the
πόλις τοῦ πρὸς τοὺς βαρβάρους πολέμου, δόντων τῶν
city of-the against the barbarians war having-given the

Ἑλλήνων τὰ χρήματα ταῦτα, ἀνέθηκεν. τότε μὲν τοίνυν
Greeks the money this dedicated then indeed then
οὕτω σεμνὸν ἦν τὸ δίκαιον καὶ τὸ κολάζειν τοὺς τὰ
so revered was the justice and the to-punish the-ones the
τοιαῦτα ποιοῦντας ἔντιμον, ὥστε τῆς αὐτῆς ἠξιοῦτο
such-things doing honorable that of-the same was-deemed-worthy
στάσεως τό τ' ἀριστεῖον τῆς θεοῦ καὶ αἱ κατὰ τῶν
place the both prize of-the goddess and the against the-ones
τὰ τοιαῦτ' ἀδικούντων τιμωρίαι· νῦν δὲ γέλως, ἄδεια, εἰ
the such-things doing-wrong punishments now but laughter impunity if
μὴ τὴν ἄγαν ταύτην ἐξουσίαν σχήσετε νῦν ὑμεῖς.
not the excessive this license you-will-check now you
νομίζω τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ καθ' ἕν τι 273
I-think then you O men Athenians not in one thing
μόνον τοὺς προγόνους μιμουμένους ὀρθῶς ἂν ποιεῖν, ἀλλὰ
only the ancestors imitating rightly — would-do but
καὶ κατὰ πάνθ' ὅσ' ἔπραττον ἐφεξῆς. ἐκεῖνοι τοίνυν, ὡς
also in all as-much-as they-did in-order they then as
ἅπαντες εὖ οἶδ' ὅτι τὸν λόγον τοῦτον ἀκηκόατε, Καλλίαν
all well I-know that the story this you-have-heard Callias
τὸν Ἱππονίκου ταύτην τὴν ὑπὸ πάντων θρυλουμένην
the of-Hipponicus this the by all much-talked-of
εἰρήνην πρεσβεύσαντα, ἵππου μὲν δρόμον ἡμέρας πεζῇ
peace having-negotiated of-horse indeed a-course of-a-day by-land
μὴ καταβαίνειν ἐπὶ τὴν θάλατταν βασιλέα, ἐντὸς δὲ
not to-come-down to the sea king within and
Χελιδονίων καὶ Κυανέων πλοίῳ μακρῷ μὴ πλεῖν, ὅτι
Chelidonians and Cyaneans with-ship long not to-sail because
δῶρα λαβεῖν ἔδοξε πρεσβεύσας, μικροῦ μὲν ἀπέκτειναν,
gifts to-have-taken he-seemed having-been-envoy nearly indeed they-killed
ἐν δὲ ταῖς εὐθύναις πεντήκοντ' ἐπράξαντο τάλαντα.
in but the audits fifty they-exacted talents

274 καίτοι καλλίω ταύτης εἰρήνην οὔτε πρότερον οὔθ' ὕστερον
and-yet finer than-this peace neither before nor after
οὐδεὶς ἂν εἰπεῖν ἔχοι πεποιημένην τὴν πόλιν. ἀλλ' οὐ τοῦτ'
no-one — to-say could having-made the city but not this
ἐσκόπουν. τούτου μὲν γὰρ ἡγοῦντο τὴν αὑτῶν ἀρετὴν καὶ
they-looked-at of-this indeed for they-thought the their-own valor and
τὴν τῆς πόλεως δόξαν αἰτίαν εἶναι, τοῦ δὲ προῖκ' ἢ μὴ
the of-the city glory cause to-be of-the but for-nothing or not
τὸν τρόπον τοῦ πρεσβευτοῦ· τοῦτον οὖν δίκαιον ἠξίουν
the character of-the envoy this-one then just they-required
παρέχεσθαι καὶ ἀδωροδόκητον τὸν προσιόντα τοῖς κοινοῖς.
to-show-himself and incorruptible the-one approaching the public-affairs
275 ἐκεῖνοι μὲν τοίνυν οὕτως ἐχθρὸν ἡγοῦντο τὸ δωροδοκεῖν
they indeed then so hateful considered the bribe-taking
καὶ ἀλυσιτελὲς τῇ πόλει, ὥστε μήτ' ἐπὶ πράξεως μηδεμιᾶς
and unprofitable for-the city that neither in action any
μήτ' ἐπ' ἀνδρὸς ἐᾶν γίγνεσθαι· ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι,
nor in a-man to-allow to-happen you but O men Athenians
τὴν αὐτὴν εἰρήνην ἑορακότες τὰ μὲν τῶν συμμάχων τῶν
the same peace having-seen the indeed of-the allies the
ὑμετέρων τείχη καθῃρηκυῖαν, τὰς δὲ τῶν πρέσβεων οἰκίας
your walls having-pulled-down the and of-the envoys houses
οἰκοδομοῦσαν, καὶ τὰ μὲν τῆς πόλεως κτήματ' ἀφῃρημένην,
building and the indeed of-the city possessions having-taken-away
τούτοις δ' ἃ μηδ' ὄναρ ἤλπισαν πώποτε κτησαμένην,
for-these but what not-even in-a-dream they-hoped ever having-acquired
οὐκ αὐτοὶ τούτους ἀπεκτείνατε, ἀλλὰ κατηγόρου προσδεῖσθε,
not yourselves these-men you-killed but an-accuser you-need
καὶ λόγῳ κρίνεθ' ὧν ἔργῳ τἀδικήματα πάντες ὁρῶσιν.
and by-word judge whose in-fact the-wrongs all see

οὐ τοίνυν τὰ παλαί᾽ ἄν τις ἔχοι μόνον εἰπεῖν καὶ 276
not then the old-things — anyone could only to-tell and
διὰ τούτων τῶν παραδειγμάτων ὑμᾶς ἐπὶ τιμωρίαν
through these the examples you to punishment
παρακαλέσαι· ἀλλ᾽ ἐφ᾽ ὑμῶν τουτωνὶ τῶν ἔτι ζώντων
to-exhort but in-the-time-of you these-here the still living
πολλοὶ δίκην δεδώκασιν, ὧν ἐγὼ τοὺς μὲν ἄλλους
many penalty have-paid of-whom I the indeed others
παραλείψω, τῶν δ᾽ ἐκ πρεσβείας, ἣ πολὺ ταύτης ἐλάττω
will-pass-over of-the but from an-embassy which far than-this less
κακὰ τὴν πόλιν εἴργασται, θανάτῳ ζημιωθέντων ἑνὸς ἢ δυοῖν
harm the city has-done with-death punished one or two
ἐπιμνησθήσομαι. καί μοι λέγε τουτὶ τὸ ψήφισμα λαβών.
I-will-mention and for-me read this-here the decree having-taken
κατὰ τουτὶ τὸ ψήφισμ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πρέσβεων 277
by this-here the decree O men Athenians of-the envoys
ἐκείνων ὑμεῖς θάνατον κατέγνωτε, ὧν εἷς ἦν Ἐπικράτης,
those you death decreed of-whom one was Epicrates
ἀνήρ, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, σπουδαῖος καὶ
a-man as I from-the elders hear excellent and
πολλὰ χρήσιμος τῇ πόλει, καὶ τῶν ἐκ Πειραιῶς
in-much useful to-the city and of-the-ones from Piraeus
καταγαγόντων τὸν δῆμον καὶ ἄλλως δημοτικός. ἀλλ᾽
having-restored the people and otherwise democratic but
ὅμως οὐδὲν αὐτὸν ὠφέλησε τούτων, δικαίως· οὐ γὰρ
nevertheless nothing him helped of-these justly not for
ἐφ᾽ ἡμισείᾳ χρηστὸν εἶναι δεῖ τὸν τὰ τηλικαῦτα διοικεῖν
by half good to-be must the-one the so-great-things to-manage
ἀξιοῦντα, οὐδὲ τὸ πιστευθῆναι προλαβόντα παρ᾽ ὑμῶν εἰς
claiming nor the trust having-obtained-first from you for

τὸ μείζω δύνασθαι κακουργεῖν καταχρῆσθαι, ἀλλ' ἁπλῶς
the more to-be-able to-do-harm to-abuse but simply
μηδὲν ὑμᾶς ἀδικεῖν ἑκόντα.
in-nothing you to-wrong willingly
278 εἰ τοίνυν τι τούτοις ἄπρακτόν ἐστι τούτων ἐφ'
if then anything by-these-men undone is of-these for
οἷς ἐκείνων θάνατος κατέγνωσται, ἔμ' ἀποκτείνατ' ἤδη.
which of-those death has-been-decreed me kill at-once
σκοπεῖτε γάρ. 'ἐπειδὴ παρὰ τὰ γράμματα' φησὶν
consider for since contrary-to the instructions it-says
'ἐπρέσβευσαν ἐκεῖνοι.' καὶ τοῦτ' ἔστι τῶν ἐγκλημάτων
went-as-envoys they and this is of-the charges
πρῶτον. οὗτοι δ' οὐ παρὰ τὰ γράμματα; οὐ τὸ μὲν
first these-men but not contrary-to the instructions not the indeed
ψήφισμα 'Ἀθηναίοις καὶ τοῖς Ἀθηναίων συμμάχοις,' οὗτοι
decree for-Athenians and for-the of-Athenians allies these-men
δὲ Φωκέας ἐκσπόνδους ἀπέφηναν; οὐ τὸ μὲν ψήφισμα
but Phocians excluded-from-the-treaty declared not the indeed decree
'τοὺς ἄρχοντας ὁρκοῦν τοὺς ἐν ταῖς πόλεσιν,' οὗτοι δ',
the magistrates to-put-to-oath the-ones in the cities these-men but
οὓς Φίλιππος αὐτοῖς προσέπεμψε, τούτους ὤρκισαν; οὐ
whom Philip to-them sent these they-put-to-oath not
τὸ μὲν ψήφισμα 'οὐδαμοῦ μόνους ἐντυγχάνειν Φιλίππῳ,'
the indeed decree nowhere alone to-meet Philip
οὗτοι δ' οὐδὲν ἐπαύσαντ' ἰδίᾳ χρηματίζοντες;
these-men but in-nothing ceased privately negotiating
279 'καὶ ἠλέγχθησάν τινες αὐτῶν ἐν τῇ βουλῇ οὐ τἀληθῆ
and were-convicted some of-them in the council not the-truth
ἀπαγγέλλοντες.' οὗτοι δέ γε κἀν τῷ δήμῳ. καὶ
reporting these-men but at-least also-in the assembly and
ὑπὸ τοῦ; τοῦτο γάρ ἐστι τὸ λαμπρόν· ὑπ' αὐτῶν
by whom this for is the striking-thing by themselves

τῶν πραγμάτων· οἷς γὰρ ἀπήγγειλαν οὗτοι, πάντα
the facts to-what for reported these-men all
δήπου γέγονεν τἀναντία. ‘οὐδ’ ἐπιστέλλοντες’ φησὶ
surely has-happened the-opposite nor writing it-says
‘τἀληθῆ.’ οὐκοῦν οὐδ’ οὗτοι. ‘καὶ καταψευδόμενοι τῶν
the-truth therefore nor these-men and lying-against the
συμμάχων καὶ δῶρα λαμβάνοντες.’ ἀντὶ μὲν τοίνυν τοῦ
allies and gifts taking instead-of indeed then the
καταψευδόμενοι παντελῶς ἀπολωλεκότες· πολλῷ δὲ δήπου
lying-against utterly having-destroyed by-much and surely
τοῦτο δεινότερον τοῦ καταψεύσασθαι. ἀλλὰ μὴν ὑπέρ
this more-terrible than-the to-lie-against but truly about
γε τοῦ δῶρ’ εἰληφέναι, εἰ μὲν ἠρνοῦντο, ἐλέγχειν λοιπὸν
at-least the bribes to-have-taken if indeed they-denied to-prove remaining
ἂν ἦν, ἐπειδὴ δ’ ὡμολόγουν, ἀπάγειν δήπου προσῆκεν.
— would-be since but they-admitted to-arrest surely was-fitting
τί οὖν, ὦ ἄνδρες Ἀθηναῖοι; τούτων οὕτως ἐχόντων, ὑμεῖς 280
what then O men Athenians these-things so being you
ἐξ ἐκείνων τῶν ἀνδρῶν ὄντες, οἱ δὲ καὶ τινὲς αὐτῶν ἔτι
from those the men being the-ones and even some of-them still
ζῶντες, ὑπομενεῖτε τὸν μὲν εὐεργέτην τοῦ δήμου καὶ τὸν
living will-you-endure the-one indeed benefactor of-the people and the
ἐκ Πειραιῶς, Ἐπικράτην, ἐκπεσεῖν καὶ κολασθῆναι; καὶ
from Piraeus Epicrates to-have-been-exiled and to-be-punished and
πάλιν πρώην Θρασύβουλον ἐκεῖνον τὸν Θρασυβούλου τοῦ
again lately Thrasybulus that the of-Thrasybulus the
δημοτικοῦ καὶ τοῦ ἀπὸ Φυλῆς καταγαγόντος τὸν δῆμον,
democrat and the-one from Phyle having-restored the people
τάλαντα δέκ’ ὠφληκέναι, καὶ τὸν ἀφ’ Ἁρμοδίου καὶ τῶν
talents ten to-have-been-fined and the-one from Harmodius and the-ones
τὰ μέγιστ’ ἀγάθ’ ὑμᾶς εἰργασμένων, οὓς νόμῳ διὰ τὰς
the greatest goods you having-done whom by-law because-of the

εὐεργεσίας ἃς ὑπῆρξαν εἰς ὑμᾶς ἐν ἅπασι τοῖς ἱεροῖς ἐπὶ
benefits which they-conferred-first on you in all the temples at
ταῖς θυσίαις σπονδῶν καὶ κρατήρων κοινωνοὺς πεποίησθε,
the sacrifices in-libations and mixing-bowls sharers you-have-made
καὶ ᾄδετε καὶ τιμᾶτ' ἐξ ἴσου τοῖς ἥρωσι καὶ τοῖς θεοῖς,
and you-sing-of and honor on equal-terms with-the heroes and the gods
281 τούτους μὲν πάντας τὴν ἐκ τῶν νόμων δίκην
these indeed all the from the laws penalty
ὑπεσχηκέναι, καὶ μήτε συγγνώμην μήτ' ἔλεον μήτε παιδία
to-have-paid and neither pardon nor pity nor children
κλάονθ' ὁμώνυμα τῶν εὐεργετῶν μήτ' ἄλλο μηδὲν αὐτοὺς
weeping namesakes of-the benefactors nor other anything them
ὠφεληκέναι· τὸν δ' Ἀτρομήτου τοῦ γραμματιστοῦ καὶ
to-have-helped the-one but of-Atrometus the schoolmaster and
Γλαυκοθέας τῆς τοὺς θιάσους συναγούσης, ἐφ' οἷς
Glaucothea the-woman the revel-bands gathering for which
ἑτέρα τέθνηκεν ἱέρεια, τοῦτον ὑμεῖς λαβόντες, τὸν τῶν
another has-died priestess this-one you having-caught the of-the
τοιούτων, τὸν οὐδὲ καθ' ἓν χρήσιμον τῇ πόλει, οὐκ
such the-one not-even in one useful to-the city not
αὐτόν, οὐ πατέρα, οὐκ ἄλλον οὐδένα τῶν τούτου, ἀφήσετε;
himself not father not other any of-the his will-you-acquit
282 ποῖος γὰρ ἵππος, ποία τριήρης, ποία στρατεία, τίς χορός,
what for horse what trireme what campaign what chorus
τίς λῃτουργία, τίς εἰσφορά, τίς εὔνοια, ποῖος κίνδυνος,
what liturgy what war-tax what goodwill what danger
τί τούτων ἐν παντὶ τῷ χρόνῳ γέγονεν παρὰ τούτων τῇ
what of-these in all the time has-come from these-men to-the
πόλει; καίτοι κἂν εἰ ταῦτα πάνθ' ὑπῆρχεν, ἐκεῖνα δὲ μὴ
city and-yet even if these-things all there-were those but not
προσῆν, δικαίως καὶ προῖκα πεπρεσβευκέναι, ἀπολωλέναι
were-added justly and for-nothing to-have-been-envoy to-perish

δήπου προσῆκεν αὐτῷ. εἰ δὲ μήτε ταῦτα μήτ' ἐκεῖνα,
surely befitted him if but neither these nor those
οὐ τιμωρήσεσθε;
not will-you-punish
οὐκ ἀναμνησθήσεσθ' ὧν κατηγορῶν ἔλεγεν Τιμάρχου, 283
not will-you-recall what accusing he-said Timarchus
ὡς οὐδέν ἐστ' ὄφελος πόλεως ἥτις μὴ νεῦρ' ἐπὶ τοὺς
that nothing is use of-a-city which not sinews against the
ἀδικοῦντας ἔχει, οὐδὲ πολιτείας ἐν ᾗ συγγνώμη καὶ
wrongdoers has nor of-a-constitution in which pardon and
παραγγελία τῶν νόμων μεῖζον ἰσχύουσιν· οὐδ' ἐλεεῖν
canvassing than-the laws more prevail nor to-pity
ὑμᾶς οὔτε τὴν μητέρα δεῖν τὴν Τιμάρχου, γραῦν
you neither the mother to-be-necessary the of-Timarchus old
γυναῖκα, οὔτε τὰ παιδί' οὔτ' ἄλλον οὐδένα, ἀλλ' ἐκεῖν'
woman nor the children nor other anyone but that
ὁρᾶν, ὅτι, εἰ προήσεσθε τὰ τῶν νόμων καὶ τῆς
to-see that if you-abandon the-things of-the laws and of-the
πολιτείας, οὐχ εὑρήσετε τοὺς ὑμᾶς αὐτοὺς ἐλεήσοντας.
constitution not you-will-find the-ones you yourselves going-to-pity
ἀλλ' ὁ μὲν ταλαίπωρος ἄνθρωπος ἠτιμώσεται, ὅτι 284
but the indeed wretched man will-be-disfranchised because
τοῦτον εἶδεν ἀδικοῦντα, τούτῳ δ' ἀθῴῳ δώσετ' εἶναι;
this-man he-saw doing-wrong to-this-man but unpunished will-you-grant to-be
διὰ τί; εἰ γὰρ παρὰ τῶν εἰς ἑαυτοὺς ἐξαμαρτόντων
because-of what if for from the-ones against themselves having-erred
τηλικαύτην ἠξίωσε δίκην Αἰσχίνης λαβεῖν, παρὰ τῶν
so-great thought-fit penalty Aeschines to-take from the-ones
εἰς τὰ τῆς πόλεως τηλικαῦθ' ἡμαρτηκότων, ὧν
against the-things of-the city so-greatly having-erred of-whom

εἷς οὗτος ὢν ἐξελέγχεται, πηλίκην ὑμᾶς προσήκει λαβεῖν
one this-man being is-proved how-great you befits to-take
τοὺς ὀμωμοκότας καὶ δικάζοντας;
the-ones having-sworn and judging
285 νὴ Δί', οἱ νέοι γὰρ ἡμῖν δι' ἐκεῖνον ἔσονται τὸν
by Zeus the young for for-us because-of that will-be the
ἀγῶνα βελτίους. οὐκοῦν καὶ διὰ τόνδ' οἱ πολιτευόμενοι,
trial better therefore also because-of this-one the politicians
δι' ὧν τὰ μέγιστα κινδυνεύεται τῇ πόλει· προσήκει
through whom the greatest-things are-risked for-the city it-befits
δὲ καὶ τούτων φροντίζειν. ἵνα τοίνυν εἰδῆθ' ὅτι καὶ
and also these to-care-for so-that then you-may-know that also
τοῦτον ἀπώλεσεν, οὐ μὰ Δί' οὐχὶ τῶν ὑμετέρων παίδων,
this-man he-ruined not by Zeus not of-the your sons
ὅπως ἔσονται σώφρονες, προορῶν (εἰσὶ γάρ, ὦ ἄνδρες
that they-will-be modest foreseeing they-are for O men
Ἀθηναῖοι, καὶ νῦν σώφρονες· μὴ γὰρ οὕτω γένοιτο κακῶς
Athenians even now modest not for so may-it-be badly
τῇ πόλει ὥστ' Ἀφοβήτου καὶ Αἰσχίνου σωφρονιστῶν
for-the city that of-Aphobetus and Aeschines as-moral-teachers
δεηθῆναι τοὺς νεωτέρους),
to-need the younger
286 ἀλλ' ὅτι βουλεύων ἔγραψεν, ἄν τις ὡς Φίλιππον ὅπλ'
but because being-councilor he-proposed if anyone to Philip arms
ἄγων ἁλῷ ἢ σκεύη τριηρικά, θάνατον εἶναι τὴν ζημίαν·
carrying is-caught or tackle for-triremes death to-be the penalty
σημεῖον δέ· πόσον γὰρ ἐδημηγόρει χρόνον Τίμαρχος;
proof and how-much for was-speaking time Timarchus
πολύν. οὐκοῦν τοῦτον ἦν Αἰσχίνης ἅπαντ' ἐν τῇ πόλει,
long therefore this was Aeschines all in the city
καὶ οὐδεπώποτ' ἠγανάκτησεν οὐδὲ δεινὸν ἡγήσατ' εἶναι
and never was-indignant nor terrible thought to-be

τὸ πρᾶγμα, εἰ ὁ τοιοῦτος λέγει, ἕως εἰς Μακεδονίαν
the thing if the such-a-man speaks until into Macedonia
ἐλθὼν ἑαυτὸν ἐμίσθωσεν· λέγε δή μοι τὸ ψήφισμα
having-gone himself he-hired-out read indeed for-me the decree
λαβὼν αὐτὸ τὸ τοῦ Τιμάρχου.
having-taken itself the — of-Timarchus
ὁ μὲν τοίνυν ὑπὲρ ὑμῶν γράψας μὴ ἄγειν ἐν τῷ 287
the-one indeed then for you having-proposed not to-carry in the
πολέμῳ πρὸς Φίλιππον ὅπλα, εἰ δὲ μή, θανάτῳ ζημιοῦσθαι,
war to Philip arms if but not by-death to-be-punished
ἀπόλωλε καὶ ὕβρισται· ὁ δὲ καὶ τὰ τῶν ὑμετέρων
has-perished and been-outraged the-one but even the of-the your
συμμάχων ὅπλ' ἐκείνῳ παραδοὺς οὑτοσὶ κατηγόρει, καὶ
allies arms to-him having-handed-over this-here accused and
περὶ πορνείας ἔλεγεν, ὦ γῆ καὶ θεοί, δυοῖν μὲν κηδεσταῖν
about prostitution spoke O earth and gods two indeed in-laws
παρεστηκότοιν, οὓς ἰδόντες ἂν ὑμεῖς ἀνακράγοιτε, Νικίου
standing-by whom having-seen — you would-cry-out Nicias
τε τοῦ βδελυροῦ, ὃς ἑαυτὸν ἐμίσθωσεν εἰς Αἴγυπτον
both the loathsome who himself hired-out to Egypt
Χαβρίᾳ, καὶ τοῦ καταράτου Κυρηβίωνος, ὃς ἐν ταῖς
to-Chabrias and the accursed Cyrebion who in the
πομπαῖς ἄνευ τοῦ προσώπου κωμάζει. καὶ τί ταῦτα; ἀλλὰ
processions without the mask revels and why these-things but
τὸν ἀδελφὸν ὁρῶν Ἀφόβητον. ἀλλὰ δῆτ' ἄνω ποταμῶν
the brother seeing Aphobetus but indeed upward rivers
ἐκείνῃ τῇ ἡμέρᾳ πάντες οἱ περὶ πορνείας ἐρρύησαν λόγοι.
on-that the day all the about prostitution flowed words

Athens, once watched by all Greece, now eavesdrops on others, and Demosthenes fears not Philip but impunity for those who take his pay. Eubulus would not speak for his cousin Hegesileos or for Thrasybulus, Niceratus' uncle, yet will plead for Aeschines, who once joined Aristophon in accusing him; Eubulus prosecuted Moerocles and Cephisophon for petty sums and swore he wished Philip dead. Petty thieves did not ruin Elis, Olynthus, and Megara, but great men thought above the many: at Megara Ptoeodorus begged off Perillus, who had gone to Philip. No one may stand above the courts and the laws, and the oracles of Zeus and Dione bid the people punish those who serve the enemy.

288 καὶ μὴν εἰς ὅσην ἀτιμίαν τὴν πόλιν ἡμῶν ἡ τούτου
and truly into how-much dishonor the city of-us the of-this-man
πονηρία καὶ ψευδολογία καταστήσασ' ἔχει, πάντα τἄλλ'
wickedness and lying having-brought holds all the-rest
ἀφείς, ὃ πάντες ὑμεῖς ἴστ' ἐρῶ. πρότερον μὲν
having-let-go what all you know I-will-say formerly indeed
γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τί παρ' ὑμῖν ἐψήφισται,
for O men Athenians what among you has-been-voted
τοῦτ' ἐπετήρουν οἱ ἄλλοι πάντες Ἕλληνες· νῦν δ' ἤδη
this watched the other all Greeks now but now
περιερχόμεθ' ἡμεῖς τί δέδοκται τοῖς ἄλλοις σκοποῦντες,
go-around we what has-been-decided by-the others looking
καὶ ὠτακουστοῦντες τί τὰ τῶν Ἀρκάδων, τί τὰ
and eavesdropping what the-things of-the Arcadians what the-things
τῶν Ἀμφικτυόνων, ποῖ πάρεισι Φίλιππος, ζῇ ἢ τέθνηκεν.
of-the Amphictyons where is-going Philip lives or is-dead
289 οὐ τοιαῦτα ποιοῦμεν; ἐγὼ δ' οὐ δέδοικ' εἰ Φίλιππος ζῇ,
not such-things do-we-do I but not fear whether Philip lives
ἀλλ' εἰ τῆς πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν
but whether in-the city has-died the the wrongdoers to-hate

καὶ τιμωρεῖσθαι. οὐδὲ φοβεῖ με Φίλιππος, ἂν τὰ παρ'
and to-punish nor frightens me Philip if the-things among
ὑμῶν ὑγιαίνῃ, ἀλλ' εἰ παρ' ὑμῖν ἄδεια γενήσεται τοῖς
you are-sound but if among you impunity will-be for-the-ones
παρ' ἐκείνου μισθαρνεῖν βουλομένοις, καὶ συνεροῦσί τινες
from him to-take-pay wishing and will-plead-for some
τούτοις τῶν ὑφ' ὑμῶν πεπιστευμένων, καὶ πάντα τὸν
these of-the-ones by you trusted and all the
ἔμπροσθεν χρόνον ἀρνούμενοι μὴ πράττειν ὑπὲρ Φιλίππου
former time denying not to-act for Philip
νῦν ἀναβήσονται, ταῦτα φοβεῖ με.
now will-come-up these-things frighten me
τί γὰρ δή ποτ', Εὔβουλε, Ἡγησίλεῳ μὲν κρινομένῳ, ὃς 290
why for indeed ever Eubulus for-Hegesileos indeed being-tried who
ἀνεψιός ἐστί σοι, καὶ Θρασυβούλῳ πρώην, τῷ Νικηράτου
cousin is to-you and for-Thrasybulus lately the of-Niceratus
θείῳ, ἐπὶ μὲν τῆς πρώτης ψήφου οὐδ' ὑπακοῦσαι
uncle at indeed the first vote not-even to-answer
καλούμενος ἤθελες, εἰς δὲ τὸ τίμημ' ἀναβὰς ὑπὲρ μὲν
being-called were-you-willing on and the penalty having-come-up for indeed
ἐκείνων οὐδ' ὁτιοῦν ἔλεγες, ἐδέου δὲ τῶν δικαστῶν
them not-even anything-whatever you-said you-asked and of-the jurors
συγγνώμην ἔχειν σοί; εἶθ' ὑπὲρ μὲν συγγενῶν καὶ ἀναγκαίων
pardon to-have for-you then for indeed kinsmen and close
ἀνθρώπων οὐκ ἀναβαίνεις, ὑπὲρ Αἰσχίνου δ' ἀναβήσει,
men not you-come-up for Aeschines but you-will-come-up
ὅς, ἡνίκ' ἔκρινεν Ἀριστοφῶν Φιλόνικον καὶ δι' ἐκείνου 291
who when prosecuted Aristophon Philonicus and through him
τῶν σοὶ πεπραγμένων κατηγόρει, συγκατηγόρει μετ'
the by-you things-done accused joined-in-accusing with
ἐκείνου σοῦ καὶ τῶν ἐχθρῶν τῶν σῶν εἷς ἐξητάζετο; ἐπειδὴ
him you and of-the enemies the yours one was-counted when

δὲ σὺ μὲν τουτουσὶ δεδιξάμενος καὶ φήσας καταβαίνειν
but you indeed these-here having-frightened and having-said to-go-down
εἰς Πειραιᾶ δεῖν ἤδη καὶ χρήματ' εἰσφέρειν καὶ τὰ
to Piraeus to-be-necessary now and money to-contribute and the
θεωρικὰ στρατιωτικὰ ποιεῖν, ἢ χειροτονεῖν ἃ συνεῖπε
festival-funds military to-make or to-vote-for what supported
μὲν οὗτος, ἔγραψε δ' ὁ βδελυρὸς Φιλοκράτης, ἐξ ὧν
indeed this-man proposed and the loathsome Philocrates from which
αἰσχρὰν ἀντ' ἴσης συνέβη γενέσθαι τὴν εἰρήνην,
shameful instead-of equal it-came-about to-be the peace
292 οὗτοι δὲ τοῖς μετὰ ταῦτ' ἀδικήμασι πάντ' ἀπολωλέκασι,
these-men but by-the after these-things wrongs all have-ruined
τηνικαῦτα διήλλαξαι; καὶ ἐν μὲν τῷ δήμῳ κατηρῶ καὶ
then you-were-reconciled and in indeed the assembly you-cursed and
κατὰ τῶν παίδων ὤμνυες ἦ μὴν ἀπολωλέναι Φίλιππον
by the children you-swore truly indeed to-have-perished Philip
ἂν βούλεσθαι· νῦν δὲ βοηθήσεις τούτῳ; πῶς οὖν ἀπολεῖται,
— to-wish now but you-will-help this-man how then will-he-perish
ὅταν τοὺς παρ' ἐκείνου δωροδοκοῦντας σὺ σῴζῃς;
when the-ones from him taking-bribes you save
293 τί γὰρ δήποτε Μοιροκλέα μὲν ἔκρινες, εἰ παρὰ τῶν τὰ
why for ever Moerocles indeed did-you-prosecute if from the-ones the
μέταλλ' ἐωνημένων εἴκοσιν ἐξέλεξεν δραχμὰς παρ' ἑκάστου,
mines having-bought twenty he-exacted drachmas from each
καὶ Κηφισοφῶντα γραφὴν ἱερῶν χρημάτων ἐδίωκες, εἰ
and Cephisophon in-a-suit of-sacred money you-prosecuted if
τρισὶν ὕστερον ἡμέραις ἐπὶ τὴν τράπεζαν ἔθηκεν ἑπτὰ
three later days at the bank he-deposited seven
μνᾶς· τοὺς δ' ἔχοντας, ὁμολογοῦντας, ἐξελεγχομένους
minas the-ones but having admitting being-convicted

ἐπ᾽ αὐτοφώρῳ ἐπὶ τῷ τῶν συμμάχων ὀλέθρῳ ταῦτα
in the-act for the of-the allies destruction these-things
πεποιηκότας, τούτους οὐ κρίνεις, ἀλλὰ καὶ σῴζειν κελεύεις;
having-done these not you-prosecute but even to-save you-urge
καὶ μὴν ὅτι ταῦτα μέν ἐστιν φοβερὰ καὶ προνοίας καὶ 294
and truly that these-things indeed are fearful and of-forethought and
φυλακῆς πολλῆς δεόμενα, ἐφ᾽ οἷς δ᾽ ἐκείνους σὺ ἔκρινες,
guard much needing for what but them you prosecuted
γέλως, ἐκείνως ὄψεσθε. ἦσαν ἐν Ἤλιδι κλέπτοντες τὰ
laughter thus you-will-see were in Elis stealing the
κοινά τινες; καὶ μάλ᾽ εἰκός γε. ἔστιν οὖν ὅστις μετέσχεν
public-funds some and very likely at-least is-there then anyone who-shared
αὐτόθι νῦν τούτων τοῦ καταλῦσαι τὸν δῆμον; οὐδὲ εἷς. τί
there now of-these the overthrowing the democracy not-even one what
δ᾽; ἦσαν, ὅτ᾽ ἦν Ὄλυνθος, τοιοῦτοί τινες ἄλλοι; ἐγὼ μὲν
and were-there when was Olynthus such some others I indeed
οἶομαι. ἆρ᾽ οὖν διὰ τούτους ἀπώλετ᾽ Ὄλυνθος; οὔ. τί
I-think — then because-of these perished Olynthus no what
δ᾽; ἐν Μεγάροις οὐκ οἴεσθ᾽ εἶναί τινα καὶ κλέπτην καὶ
and in Megara not do-you-think to-be someone both thief and
παρεκλέγοντα τὰ κοινά; ἀνάγκη. καὶ πέφηνέ τις αἴτιος
embezzling the public-funds necessarily and has-appeared anyone responsible
αὐτόθι νῦν τούτων τῶν συμβεβηκότων πραγμάτων; οὐδὲ εἷς.
there now for-these the having-happened events not-even one
ἀλλὰ ποῖοί τινες οἱ τὰ τηλικαῦτα καὶ τοιαῦτ᾽ 295
but what-sort of-men the-ones the so-great and such-things
ἀδικοῦντες; οἱ νομίζοντες ἀξιόχρεως εἶναι τοῦ Φιλίππου
doing-wrong the-ones thinking worthy to-be — of-Philip
ξένοι καὶ φίλοι προσαγορεύεσθαι, οἱ στρατηγιῶντες
guest-friends and friends to-be-called the-ones desiring-command
καὶ προστασίας ἀξιούμενοι, οἱ μείζους τῶν πολλῶν
and leadership deemed-worthy-of the-ones greater than-the many

οἰόμενοι δεῖν εἶναι. οὐ Πέριλλος ἐκρίνετ᾽ ἔναγχος
thinking to-be-necessary to-be not Perillus was-tried lately
ἐν Μεγάροις ἐν τοῖς τριακοσίοις, ὅτι πρὸς Φίλιππον
at Megara before the three-hundred because to Philip
ἀφίκετο, καὶ παρελθὼν Πτοιόδωρος αὐτὸν ἐξῃτήσατο,
he-had-gone and having-come-forward Ptoeodorus him begged-off
καὶ πλούτῳ καὶ γένει καὶ δόξῃ πρῶτος Μεγαρέων, καὶ
both in-wealth and in-birth and in-repute first of-Megarians and
πάλιν ὡς Φίλιππον ἐξέπεμψε, καὶ μετὰ ταῦθ᾽ ὁ μὲν
again to Philip sent-him-off and after these-things the-one indeed
ἦκεν ἄγων τοὺς ξένους, ὁ δ᾽ ἔνδον ἐτύρευε; τοιαῦτα.
came bringing the mercenaries the-other and inside was-stirring-up such-things
296 οὐ γὰρ ἔστιν, οὐκ ἔσθ᾽ ὅ τι τῶν πάντων μᾶλλον
not for is not is that which of-the all more
εὐλαβεῖσθαι δεῖ ἢ τὸ μείζω τινὰ τῶν πολλῶν ἐᾶν
to-guard-against one-must than the greater anyone than-the many to-allow
γίγνεσθαι. μή μοι σῳζέσθω μηδ᾽ ἀπολλύσθω μηδείς, ἂν
to-become not for-me let-him-be-saved nor let-him-perish anyone if
ὁ δεῖνα βούληται, ἀλλ᾽ ὃν ἂν τὰ πεπραγμένα σῴζῃ
the so-and-so wishes but whom — the things-done save
καὶ τοὐναντίον, τούτῳ τῆς προσηκούσης ψήφου παρ᾽
and conversely for-this-one the fitting vote from
ὑμῶν ὑπαρχέτω τυγχάνειν· τοῦτο γάρ ἐστι δημοτικόν.
you let-it-be-his to-obtain this for is democratic
297 ἔτι τοίνυν πολλοὶ παρ᾽ ὑμῖν ἐπὶ καιρῶν γεγόνασιν ἰσχυροί,
further then many among you at times have-been powerful
Καλλίστρατος, αὖθις Ἀριστοφῶν, Διόφαντος, τούτων ἕτεροι
Callistratus again Aristophon Diophantus than-these others
πρότερον. ἀλλὰ ποῦ τούτων ἕκαστος ἐπρώτευεν; ἐν τῷ
earlier but where of-these each was-first in the
δήμῳ· ἐν δὲ τοῖς δικαστηρίοις οὐδείς πω μέχρι τῆς τήμερον
assembly in but the courts no-one yet until the present

ἡμέρας ὑμῶν οὐδὲ τῶν νόμων οὐδὲ τῶν ὅρκων κρείττων
day than-you nor than-the laws nor than-the oaths stronger
γέγονεν. μὴ τοίνυν μηδὲ νῦν τοῦτον ἐάσητε. ὅτι γὰρ ταῦτα
has-been not then nor now this-man allow that for these-things
φυλάττοισθ' ἂν εἰκότως μᾶλλον ἢ πιστεύοιτε, τῶν θεῶν
you-would-guard-against — reasonably rather than trust of-the gods
ὑμῖν μαντείαν ἀναγνώσομαι, οἵπερ ἀεὶ σῴζουσι τὴν πόλιν
to-you oracle I-will-read who always save the city
πολλῷ τῶν προεστηκότων μᾶλλον. λέγε τὰς μαντείας.
by-much than-the leaders more read the oracles
ἀκούετ', ὦ ἄνδρες Ἀθηναῖοι, τῶν θεῶν οἵ' ὑμῖν προλέγουσιν. 298
you-hear O men Athenians the gods what to-you they-foretell
εἰ μὲν τοίνυν πολεμούντων ὑμῶν ταῦτ' ἀνῃρήκασι,
if indeed then making-war you these-things they-have-pronounced
τοὺς στρατηγοὺς λέγουσι φυλάττεσθαι· πολέμου γάρ εἰσιν
the generals they-say to-guard-against of-war for are
ἡγεμόνες οἱ στρατηγοί· εἰ δὲ πεποιημένων εἰρήνην, τοὺς
leaders the generals if but having-made peace the-ones
ἐπὶ τῆς πολιτείας ἐφεστηκότας· οὗτοι γὰρ ἡγοῦνται, τούτοις
over the state set these for lead these
πείθεσθ' ὑμεῖς, ὑπὸ τούτων δέος ἐστὶ μὴ παρακρουσθῆτε.
you-obey you by these fear is lest you-be-misled
'καὶ τὴν πόλιν συνέχειν, ὅπως ἂν μίαν γνώμην ἔχωσιν
and the city to-hold-together that — one mind they-may-have
ἅπαντες καὶ μὴ τοῖς ἐχθροῖς ἡδονὴν ποιῶσι.'
all and not for-the enemies pleasure make
πότερ' οὖν οἴεσθ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν τοσαῦτα 299
whether then do-you-think — O men Athenians the-one so-many
κάκ' εἰργασμένον σωθέντα, ἢ δίκην δόντα, ἡδονὴν
evils having-done saved or penalty having-paid pleasure
Φιλίππῳ ποιῆσαι; ἐγὼ μὲν οἶομαι σωθέντα. φησὶ δέ
for-Philip to-give I indeed think saved says but

γ᾽ ἡ μαντεία δεῖν ὅπως ἂν μὴ χαίρωσιν οἱ
at-least the oracle to-be-necessary that — not rejoice the
ἐχθροὶ ποιεῖν. ἅπασι τοίνυν μιᾷ γνώμῃ παρακελεύεται
enemies to-act all then with-one mind it-exhorts
κολάζειν τοὺς ὑπηρετηκότας τι τοῖς ἐχθροῖς ὁ Ζεύς,
to-punish the-ones having-served in-anything the enemies — Zeus
ἡ Διώνη, πάντες οἱ θεοί. ἔξωθεν οἱ ἐπιβουλεύοντες,
— Dione all the gods from-outside the-ones plotting
ἔνδοθεν οἱ συμπράττοντες. οὐκοῦν τῶν ἐπιβουλευόντων
from-inside the-ones cooperating therefore of-the plotters
μὲν ἔργον διδόναι, τῶν συμπραττόντων δὲ λαμβάνειν καὶ
indeed the-work to-give of-the cooperators but to-take and
τοὺς εἰληφότας ἐκσῴζειν.
the-ones having-taken to-save
300 ἔτι τοίνυν κἂν ἀπ᾽ ἀνθρωπίνου λογισμοῦ τοῦτ᾽ ἴδοι
further then even from human reasoning this could-see
τις, ὅτι πάντων ἐχθρότατον καὶ φοβερώτατον τὸ τὸν
one that of-all most-hostile and most-fearful the the
προεστηκότ᾽ ἐᾶν οἰκεῖον γίγνεσθαι τοῖς μὴ τῶν
leader to-allow intimate to-become with-the-ones not the
αὐτῶν ἐπιθυμοῦσι τῷ δήμῳ. τίσι γὰρ τῶν πραγμάτων
same desiring as-the people by-what for of-the affairs
ἐγκρατὴς γέγονεν Φίλιππος ἁπάντων, καὶ τίσιν τὰ μέγιστα
master has-become Philip of-all and by-what the greatest
κατείργασται τῶν πεπραγμένων, σκέψασθε. τῷ παρὰ τῶν
he-has-achieved of-the things-done consider by-the from the-ones
πωλούντων τὰς πράξεις ὠνεῖσθαι, τῷ τοὺς προεστηκότας
selling the deals to-buy by-the the leaders
ἐν ταῖς πόλεσιν διαφθείρειν καὶ ἐπαίρειν, τούτοις.
in the cities to-corrupt and to-incite by-these-means

ταῦτα τοίνυν ἐφ' ὑμῖν ἐστιν ἀμφότερα, ἐὰν βούλησθε, 301
these-things then in you is both if you-wish
ἀχρεῖα ποιῆσαι τήμερον, ἂν τῶν μὲν μὴ 'θέλητ'
useless to-make today if the-ones indeed not you-are-willing
ἀκούειν τοῖς τοιούτοις συνηγορούντων, ἀλλ' ἐπιδείξητ'
to-hear for-the such pleading but you-show
ἀκύρους ὄντας ὑμῶν (νῦν γάρ φασιν εἶναι κύριοι), τὸν
powerless being over-you now for they-say to-be masters the-one
δὲ πεπρακόθ' ἑαυτὸν κολάσητε, καὶ τοῦθ' ἅπαντες ἴδωσιν.
and having-sold himself you-punish and this all see
παντὶ μὲν γὰρ εἰκότως ἂν ὀργισθείητ', ὦ ἄνδρες Ἀθηναῖοι, 302
with-any indeed for reasonably — you-would-be-angry O men Athenians
τοιαῦτα πεποιηκότι καὶ προδεδωκότι συμμάχους καὶ φίλους
such-things having-done and having-betrayed allies and friends
καὶ καιρούς, μεθ' ὧν ἢ καλῶς ἢ κακῶς ἑκάστοις ἔχει
and occasions with which either well or badly for-each are
τὰ πάντα, οὐ μὴν οὐδενὶ μᾶλλον οὐδὲ δικαιότερον ἢ
the all not however with-no-one more nor more-justly than
τούτῳ. ὃς γὰρ ἑαυτὸν τάξας τῶν ἀπιστούντων
with-this-man who for himself having-ranked among-the-ones distrusting
εἶναι Φιλίππῳ, καὶ μόνος καὶ πρῶτος ἰδὼν ὅτι κοινὸς
to-be Philip and alone and first having-seen that common
ἐχθρὸς ἐκεῖνός ἐστιν ἁπάντων τῶν Ἑλλήνων, ηὐτομόλησε
enemy he is of-all the Greeks deserted
καὶ προὔδωκε καὶ γέγονεν ἐξαίφνης ὑπὲρ Φιλίππου, πῶς
and betrayed and has-become suddenly for Philip how
οὐ πολλάκις οὗτος ἄξιός ἐστ' ἀπολωλέναι;
not many-times this-man worthy is to-perish

Aeschines himself, Demosthenes says, brought Ischander before the people, called Philip a barbarian and a curse, and wept for Greece when he heard that Atrestidas was leaving with Olynthian captives given him by Philip; he urged the city to send envoys to Arcadia to accuse Philip's agents. Once in Macedonia he told the people not to remember their ancestors or their trophies, and called Philip most Greek, a clever speaker, and a friend of Athens. Now he sides with Philocrates, who brought free Olynthian women here to abuse them, and he never wept for them. Demosthenes then retells how Philip hired him as soon as the envoys came, since he could not take Phocis and Pylae without fooling Athens, and how the envoys won the peace without the Phocians and stole the time for an expedition.

303 ἀλλὰ μὴν ὅτι ταῦθ' οὕτως ἔχει, αὐτὸς οὐχ οἷός τ' ἀντειπεῖν
but truly that these-things so are he-himself not able — to-deny
ἔσται. τίς γάρ ἐσθ' ὁ τὸν Ἴσχανδρον προσάγων ὑμῖν τὸ
will-be who for is the-one — Ischander introducing to-you the
κατ' ἀρχάς, ὃν παρὰ τῶν ἐν Ἀρκαδίᾳ φίλων τῇ πόλει
at first whom from the in Arcadia friends to-the city
δεῦρ' ἥκειν ἔφη; τίς ὁ συσκευάζεσθαι τὴν Ἑλλάδα καὶ
here to-have-come he-said who the-one to-be-intriguing-against — Greece and
Πελοπόννησον Φίλιππον βοῶν, ὑμᾶς δὲ καθεύδειν; τίς ὁ
Peloponnese Philip shouting you but to-sleep who the-one
τοὺς μακροὺς καὶ καλοὺς λόγους ἐκείνους δημηγορῶν, καὶ
the long and fine speeches those haranguing and
τὸ Μιλτιάδου καὶ τὸ Θεμιστοκλέους ψήφισμ' ἀναγιγνώσκων
the of-Miltiades and the of-Themistocles decree reading
καὶ τὸν ἐν τῷ τῆς Ἀγλαύρου τῶν ἐφήβων ὅρκον;
and the in the — of-Aglaurus of-the ephebes oath
304 οὐχ οὗτος; τίς ὁ πείσας ὑμᾶς μόνον οὐκ ἐπὶ τὴν
not this-man who the-one having-persuaded you only not to the
ἐρυθρὰν θάλατταν πρεσβείας πέμπειν, ὡς ἐπιβουλευομένης
Red Sea embassies to-send as being-plotted-against

μὲν ὑπὸ Φιλίππου τῆς Ἑλλάδος, ὑμῖν δὲ προσῆκον προορᾶν
indeed by Philip — Greece for-you and it-being-fitting to-foresee
ταῦτα καὶ μὴ προΐεσθαι τὰ τῶν Ἑλλήνων; οὐχ ὁ
these-things and not to-abandon the-things of-the Greeks not the-one
μὲν γράφων τὸ ψήφισμ' Εὔβουλος ἦν, ὁ δὲ πρεσβεύων
indeed proposing the decree Eubulus was the-one and going-as-envoy
εἰς Πελοπόννησον Αἰσχίνης οὑτοσί; ἐλθὼν δ' ἐκεῖσε ἅττα
to Peloponnese Aeschines this-here having-gone and there what
μέν ποτε διελέχθη καὶ ἐδημηγόρησεν, αὐτὸς ἂν εἰδείη, ἃ
indeed ever he-discussed and harangued himself — would-know what
δ' ἀπήγγειλε πρὸς ὑμᾶς, ὑμεῖς οἶδ' ὅτι μέμνησθε πάντες.
but he-reported to you you I-know that remember all
βάρβαρόν τε γὰρ πολλάκις καὶ ἀλάστορα τὸν Φίλιππον 305
barbarian both for often and avenging-demon — Philip
ἀποκαλῶν ἐδημηγόρει, καὶ τοὺς Ἀρκάδας ὑμῖν ἀπήγγελλεν
calling he-harangued and the Arcadians to-you he-reported
ὡς ἔχαιρον, εἰ προσέχει τοῖς πράγμασιν ἤδη καὶ ἐγείρεται ἡ
how they-rejoiced if attends to-the affairs now and is-awakening the
τῶν Ἀθηναίων πόλις. ὃ δὲ πάντων μάλιστ' ἀγανακτῆσαι
of-the Athenians city what and of-all most to-have-been-indignant
ἔφη· συντυχεῖν γὰρ ἀπιὼν Ἀτρεστίδᾳ παρὰ Φιλίππου
he-said to-have-met for departing Atrestidas from Philip
πορευομένῳ, καὶ μετ' αὐτοῦ γύναια καὶ παιδάρι' ὡς
traveling and with him women and children about
τριάκοντα βαδίζειν, αὐτὸς δὲ θαυμάσας ἐρέσθαι τινὰ τῶν
thirty to-walk he-himself and having-wondered to-have-asked one of-the
ὁδοιπόρων τίς ἄνθρωπός ἐστι καὶ τίς ὄχλος ὁ μετ' αὐτοῦ,
wayfarers who the-man is and what crowd the with him
ἐπειδὴ δ' ἀκοῦσαι ὅτι Ἀτρεστίδας παρὰ Φιλίππου τῶν 306
when and to-have-heard that Atrestidas from Philip of-the
Ὀλυνθίων αἰχμάλωτα δωρειὰν ταῦτ' ἔχων ἀπέρχεται, δεινὸν
Olynthians captives as-a-gift these having goes-away terrible

αὐτῷ τι δόξαι καὶ δακρῦσαι καὶ ὀδύρασθαι τὴν
to-him something to-have-seemed and to-have-wept and to-have-lamented —
Ἑλλάδα, ὡς κακῶς διάκειται, ἢ τοιαῦτα πάθη περιορᾷ
Greece how badly it-fares which such sufferings overlooks
γιγνόμενα. καὶ συνεβούλευεν ὑμῖν πέμπειν τινὰς εἰς Ἀρκαδίαν,
happening and he-advised you to-send some to Arcadia
οἵτινες κατηγορήσουσι τῶν τὰ Φιλίππου πραττόντων·
who will-accuse the-ones the of-Philip doing
ἀκούειν γὰρ ἔφη τῶν φίλων, ὡς ἐὰν ἐπιστροφὴν ἡ πόλις
to-hear for he-said from-the friends that if attention the city
ποιήσηται καὶ πρέσβεις πέμψῃ, δίκην ἐκεῖνοι δώσουσιν.
pays and envoys sends penalty those will-pay
307 ταῦτα μὲν τοίνυν τότε καὶ μάλ', ὦ ἄνδρες Ἀθηναῖοι,
these-things indeed then then and very O men Athenians
καλὰ καὶ τῆς πόλεως ἄξι' ἐδημηγόρει. ἐπειδὴ δ' ἀφίκετ'
fine and of-the city worthy he-harangued when but he-arrived
εἰς Μακεδονίαν καὶ τὸν ἐχθρὸν εἶδε τὸν αὑτοῦ καὶ τῶν
in Macedonia and the enemy saw the his-own and of-the
Ἑλλήνων, ἆρά γ' ὅμοι' ἢ παραπλήσια τούτοις; πολλοῦ
Greeks — at-least like-things or near to-these much
γε καὶ δεῖ, ἀλλὰ μήτε τῶν προγόνων μεμνῆσθαι
at-least indeed is-lacking but neither the ancestors to-remember
μήτε τρόπαια λέγειν μήτε βοηθεῖν μηδενί, τῶν τε
nor trophies to-speak-of nor to-help anyone of-the-ones and
κελευόντων μετὰ τῶν Ἑλλήνων περὶ τῆς πρὸς Φίλιππον
urging with the Greeks about the with Philip
εἰρήνης βουλεύεσθαι θαυμάζειν, εἰ περὶ τῶν ὑμετέρων
peace to-deliberate to-wonder if about the your
ἰδίων ἄλλον τινὰ δεῖ πεισθῆναι·
own other anyone must to-be-persuaded

εἶναί τε τὸν Φίλιππον αὐτόν, Ἡράκλεις, Ἑλληνικώτατον 308
to-be and — Philip himself Heracles most-Greek
ἀνθρώπων, δεινότατον λέγειν, φιλαθηναιότατον· οὕτω δ' ἀτόπους τινὰς ἐν τῇ πόλει καὶ δυσχερεῖς ἀνθρώπους εἶναι
of-men cleverest to-speak most-Athens-loving so and absurd some in the city and peevish men to-be
ὥστ' οὐκ αἰσχύνεσθαι λοιδορουμένους αὐτῷ καὶ βάρβαρον
that not to-be-ashamed reviling him and barbarian
αὐτὸν ἀποκαλοῦντας. ἔστιν οὖν ὅπως ταῦτ' ἄν, ἐκεῖνα
him calling is-it then how these-things — those
προειρηκώς, ὁ αὐτὸς ἀνὴρ μὴ διαφθαρεὶς ἐτόλμησεν
having-said-before the same man not corrupted would-have-dared
εἰπεῖν; τί δ';
to-say what and
ἔσθ' ὅστις ἂν τὸν Ἀτρεστίδαν τότε μισήσας διὰ τοὺς 309
is-there anyone-who — — Atrestidas then having-hated because-of the
τῶν Ὀλυνθίων παῖδας καὶ γύναια, ταὐτὰ Φιλοκράτει
of-the Olynthians children and women the-same-things as-Philocrates
νῦν πράττειν ὑπέμεινεν, ὃς γυναῖκας ἐλευθέρας τῶν
now to-do would-have-endured who women free of-the
Ὀλυνθίων ἤγαγε δεῦρ' ἐφ' ὕβρει, καὶ οὕτως ἐπὶ τῷ βδελυρῶς
Olynthians brought here for outrage and so for the loathsomely
βεβιωκέναι γιγνώσκεται ὥστε μηδὲν ἔμ' αἰσχρὸν εἰπεῖν νυνὶ
to-have-lived is-known that nothing me shameful to-say now
περὶ αὐτοῦ δεῖν μηδὲ δυσχερές, ἀλλὰ τοσοῦτον εἰπόντος
about him to-be-necessary nor offensive but so-much having-said
μόνον, ὅτι Φιλοκράτης γυναῖκας ἤγαγε, πάντας ὑμᾶς εἰδέναι
only that Philocrates women brought all you to-know
καὶ τοὺς περιεστηκότας τὰ μετὰ ταῦτα, καὶ ἐλεεῖν εὖ
and the bystanders the-things after these-things and to-pity well
οἶδ' ὅτι τὰς ἀτυχεῖς καὶ ταλαιπώρους ἀνθρώπους, ἃς οὐκ
I-know that the unfortunate and wretched women whom not

ἠλέησεν Αἰσχίνης, οὐδ' ἐδάκρυσεν ἐπὶ ταύταις τὴν Ἑλλάδα,
pitied Aeschines nor wept over these — Greece
εἰ παρὰ τοῖς συμμάχοις ὑπὸ τῶν πρέσβεων ὑβρίζονται.
if among the allies by the envoys they-are-outraged
310 ἀλλ' ὑπὲρ αὐτοῦ κλαήσει τοῦ τὰ τοιαῦτα πεπρεσβευκότος,
but for himself he-will-weep the-one the such-things having-done-as-envoy
καὶ τὰ παιδί' ἴσως παράξει κἀναβιβᾶται. ὑμεῖς δ'
and the children perhaps will-bring-forward and-put-on-the-stand you but
ἐνθυμεῖσθ', ὦ ἄνδρες δικασταί, πρὸς μὲν τὰ τούτου
consider O men jurors against indeed the of-this-man
παιδία, ὅτι πολλῶν συμμάχων ὑμετέρων καὶ φίλων παῖδες
children that of-many allies yours and friends children
ἀλῶνται καὶ πτωχοὶ περιέρχονται δεινὰ πεπονθότες
wander and as-beggars go-about terrible-things having-suffered
διὰ τοῦτον, οὓς ἐλεεῖν πολλῷ μᾶλλον ὑμῖν ἄξιον ἢ
because-of this-man whom to-pity by-much more for-you worthy than
τοὺς τοῦ ἠδικηκότος καὶ προδότου πατρός, καὶ ὅτι τοὺς
the-ones of-the having-done-wrong and traitor father and that the
ὑμετέρους παῖδας οὗτοι, 'καὶ τοῖς ἐκγόνοις' προσγράψαντες
your children these-men also for-the descendants having-added
εἰς τὴν εἰρήνην, καὶ τῶν ἐλπίδων ἀπεστερήκασι· πρὸς δὲ
into the peace even of-the hopes have-robbed against and
τὰ αὐτοῦ τούτου δάκρυα, ὅτι νῦν ἔχετ' ἄνθρωπον, ὃς εἰς
the of-him this tears that now you-have the-man who to
Ἀρκαδίαν ἐκέλευεν ἐπὶ τοὺς ὑπὲρ Φιλίππου πράττοντας
Arcadia urged against the-ones for Philip acting
πέμπειν τοὺς κατηγορήσοντας.
to-send the-ones going-to-accuse
311 νῦν τοίνυν ὑμᾶς οὐκ εἰς Πελοπόννησον δεῖ πρεσβείαν
now then you not to Peloponnese need an-embassy
πέμπειν, οὐδ' ὁδὸν μακρὰν βαδίσαι, οὐδ' ἐφόδι' ἀναλίσκειν,
to-send nor road long to-walk nor travel-money to-spend

ἀλλ᾽ ἄχρι τοῦ βήματος ἐνταυθὶ προσελθόνθ᾽ ἕκαστον ὑμῶν
but as-far-as the platform here having-come each of-you
τὴν ὁσίαν καὶ δικαίαν ψῆφον ὑπὲρ τῆς πατρίδος θέσθαι
the holy and just vote for the fatherland to-cast
κατ᾽ ἀνδρός, ὅς, ὦ γῆ καὶ θεοί, ἐκεῖν᾽ ἃ διεξῆλθον ἐν
against a-man who O earth and gods those-things which I-went-through at
ἀρχῇ δεδημηγορηκώς, τὸν Μαραθῶνα, τὴν Σαλαμῖνα,
the-beginning having-harangued — Marathon — Salamis
τὰς μάχας, τὰ τρόπαια, ἐξαίφνης ὡς ἐπέβη Μακεδονίας,
the battles the trophies suddenly when he-set-foot-on Macedonia
πάντα τἀναντία τούτοις, μὴ προγόνων μεμνῆσθαι, μὴ
all the-opposite to-these not ancestors to-remember not
τρόπαια λέγειν, μὴ βοηθεῖν μηδενί, μὴ κοινῇ μετὰ τῶν
trophies to-speak-of not to-help anyone not in-common with the
Ἑλλήνων βουλεύεσθαι, μόνον οὐ καθελεῖν τὰ τείχη.
Greeks to-deliberate only not to-pull-down the walls
καίτοι τούτων αἰσχίους λόγοι οὐδένες πώποτ᾽ ἐν τῷ 312
and-yet than-these more-shameful words none ever in the
παντὶ χρόνῳ γεγόνασι παρ᾽ ὑμῖν. τίς γάρ ἐστιν Ἑλλήνων
all time have-been among you who for is of-Greeks
ἢ βαρβάρων οὕτω σκαιὸς ἢ ἀνήκοος ἢ σφόδρα μισῶν
or barbarians so stupid or ignorant or greatly hating
τὴν πόλιν τὴν ἡμετέραν, ὅστις, εἴ τις ἔροιτο, ‘εἰπέ μοι,
the city the our who if anyone should-ask tell me
τῆς νῦν οὔσης Ἑλλάδος ταυτησὶ καὶ οἰκουμένης ἔσθ᾽ ὅ
of-the now existing Greece this-here and inhabited is-there that
τι ταύτην ἂν τὴν προσηγορίαν εἶχεν ἢ ᾠκεῖθ᾽
which this — the name would-have or would-be-inhabited
ὑπὸ τῶν νῦν ἐχόντων Ἑλλήνων, εἰ μὴ τὰς ἀρετὰς ὑπὲρ
by the now holding Greeks if not the valorous-deeds for
αὐτῶν ἐκείνας οἱ Μαραθῶνι κἀν Σαλαμῖνι παρέσχοντο,
them those the at-Marathon and-at Salamis displayed

οἱ ἡμέτεροι πρόγονοι;’ οὐδ’ ἂν εἷς εὖ οἶδ’ ὅτι φήσειεν,
the our ancestors not-even — one well I-know that would-say-so
ἀλλὰ πάντα ταῦθ’ ὑπὸ τῶν βαρβάρων ἂν ἑαλωκέναι.
but all these-things by the barbarians — to-have-been-taken
313 εἶθ’ οὓς μηδὲ τῶν ἐχθρῶν μηδεὶς ἂν τούτων τῶν
then whom not-even of-the enemies anyone — of-these the
ἐγκωμίων καὶ τῶν ἐπαίνων ἀποστερήσειε, τούτων Αἰσχίνης
eulogies and the praises would-rob of-these Aeschines
ὑμᾶς οὐκ ἐᾷ μεμνῆσθαι, τοὺς ἐξ ἐκείνων, ἵν’ αὐτὸς
you not allows to-remember the-ones from them so-that himself
ἀργύριον λάβῃ; καὶ μὴν τῶν μὲν ἄλλων ἀγαθῶν οὐ
silver may-get and truly of-the indeed other goods not
μέτεστι τοῖς τεθνεῶσιν, οἱ δ’ ἐπὶ τοῖς καλῶς πραχθεῖσιν
there-is-a-share for-the dead the but for the nobly done
ἔπαινοι τῶν οὕτω τετελευτηκότων ἴδιον κτῆμ’ εἰσίν·
praises of-the-ones thus having-died own possession are
οὐδὲ γὰρ ὁ φθόνος αὐτοῖς ἔτι τηνικαῦτ’ ἐναντιοῦται.
not for the envy them any-longer then opposes
ὧν ἀποστερῶν ἐκείνους οὗτος, αὐτὸς ἂν τῆς ἐπιτιμίας
of-which robbing them this-man himself — of-the citizen-rights
δικαίως νῦν στερηθείη, καὶ ταύτην ὑπὲρ τῶν προγόνων
justly now would-be-deprived and this for the ancestors
ὑμεῖς δίκην λάβοιτε παρ’ αὐτοῦ. τοιούτοις μέντοι λόγοις,
you penalty might-take from him with-such however words
ὦ κακὴ κεφαλή, σὺ τὰ τῶν προγόνων ἔργα συλήσας
O evil head you the of-the ancestors deeds having-plundered
καὶ διασύρας, τῷ λόγῳ πάντα τὰ πράγματ’ ἀπώλεσας.
and having-disparaged in-the speech all the affairs you-have-ruined
314 εἶτα γεωργεῖς ἐκ τούτων καὶ σεμνὸς γέγονας. καὶ
then you-farm from these-things and grand you-have-become and
γὰρ τοῦτο. πρὸ μὲν τοῦ πάντα κάκ’ εἰργάσθαι τὴν
for this before indeed the all evils to-have-done to-the

πόλιν ὡμολόγει γεγραμματευκέναι καὶ χάριν ὑμῖν ἔχειν
city he-admitted to-have-been-a-clerk and gratitude to-you to-owe
τοῦ χειροτονηθῆναι, καὶ μέτριον παρεῖχεν ἑαυτόν· ἐπειδὴ
for-the being-elected and modest he-showed himself when
δὲ μυρί' εἴργασται κακά, τὰς ὀφρῦς ἀνέσπακε, κἂν 'ὁ
but countless he-has-done evils the eyebrows he-has-raised and-if the
γεγραμματευκὼς Αἰσχίνης' εἴπῃ τις, ἐχθρὸς εὐθέως καὶ
ex-clerk Aeschines says anyone enemy at-once and
κακῶς φησιν ἀκηκοέναι, καὶ διὰ τῆς ἀγορᾶς πορεύεται
ill he-says to-have-been-spoken-of and through the marketplace he-walks
θοἰμάτιον καθεὶς ἄχρι τῶν σφυρῶν, ἴσα βαίνων
the-cloak having-let-down to the ankles equal stepping
Πυθοκλεῖ, τὰς γνάθους φυσῶν, τῶν Φιλίππου ξένων καὶ
with-Pythocles the cheeks puffing of-the of-Philip guest-friends and
φίλων εἷς οὗτος ὑμῖν ἤδη, τῶν ἀπαλλαγῆναι τοῦ δήμου
friends one this-man for-you now of-the-ones to-be-rid of-the democracy
βουλομένων καὶ κλύδωνα καὶ μανίαν τὰ καθεστηκότα
wishing and surge and madness the established
πράγματ' ἡγουμένων, ὁ τέως προσκυνῶν τὴν θόλον.
affairs considering the-one formerly bowing-to the tholos
βούλομαι τοίνυν ὑμῖν ἐπανελθεῖν ἐπὶ κεφαλαίων ὃν
I-wish then for-you to-go-back by headings in-what
τρόπον ὑμᾶς κατεπολιτεύσατο Φίλιππος προσλαβὼν
way you outmaneuvered Philip having-taken-on
τούτους τοὺς θεοῖς ἐχθρούς. πάνυ δ' ἄξιον ἐξετάσαι
these the to-gods hateful very and worthwhile to-examine
καὶ θεάσασθαι τὴν ἀπάτην ὅλην. τὸ μὲν γὰρ ἀπ' ἀρχῆς
and to-view the deceit whole the indeed for from beginning
τῆς εἰρήνης ἐπιθυμῶν, διαφορουμένης αὐτοῦ τῆς χώρας
the peace desiring being-plundered his the land
ὑπὸ τῶν λῃστῶν καὶ κεκλειμένων τῶν ἐμπορίων, ὥστ'
by the pirates and closed the ports so-that

ἀνόνητον ἐκεῖνον ἁπάντων εἶναι τῶν ἀγαθῶν, τοὺς τὰ
without-profit him of-all to-be the goods the-ones the
φιλάνθρωπα λέγοντας ἐκείνους ἀπέστειλεν ὑπὲρ αὑτοῦ,
kindly-things saying those he-sent for himself
τὸν Νεοπτόλεμον, τὸν Ἀριστόδημον, τὸν Κτησιφῶντα·
— Neoptolemus — Aristodemus — Ctesiphon
316 ἐπειδὴ δ' ἤλθομεν ὡς αὐτὸν ἡμεῖς οἱ πρέσβεις, ἐμισθώσατο
when but we-came to him we the envoys he-hired
μὲν τοῦτον εὐθέως, ὅπως συνερεῖ καὶ συναγωνιεῖται
indeed this-man at-once so-that he-will-support and will-help-the-struggle
τῷ μιαρῷ Φιλοκράτει καὶ τῶν τὰ δίκαια βουλομένων
the foul Philocrates and the-ones the just-things wishing
πράττειν περιέσται, συνέγραψε δ' ἐπιστολὴν ὡς ὑμᾶς,
to-do will-overcome he-composed and a-letter to you
ᾗ μάλιστ' ἂν ᾤετο τῆς εἰρήνης τυχεῖν.
by-which most — he-thought the peace to-obtain
317 ἦν δ' οὐδὲν μᾶλλον μέγ' αὐτῷ καθ' ὑμῶν οὐδ'
was but nothing more great for-him against you not-even
οὕτω πρᾶξαι, εἰ μὴ Φωκέας ἀπολεῖ. τοῦτο δ' οὐκ
so to-accomplish if not Phocians he-will-destroy this but not
ἦν εὔπορον· συνῆκτο γὰρ αὐτῷ τὰ πράγματα,
was easy had-been-brought-together for for-him the affairs
ὥσπερ ἐκ τύχης, εἰς καιρὸν τοιοῦτον, ὥστ' ἢ μηδὲν
as-if by chance into a-juncture such that either nothing
ὧν ἐβούλετ' εἶναι διαπράξασθαι, ἢ ἀνάγκην εἶναι
of-what he-wished to-be-possible to-accomplish or necessity to-be
ψεύσασθαι κἀπιορκῆσαι καὶ μάρτυρας τῆς αὑτοῦ κακίας
to-lie and-to-forswear and witnesses of-the his-own baseness
πάντας Ἕλληνας καὶ βαρβάρους ποιήσασθαι.
all Greeks and barbarians to-make

εἰ μὲν γὰρ προσδέξαιτο Φωκέας συμμάχους καὶ μεθ' ὑμῶν 318
if indeed for he-should-accept Phocians as-allies and with you
τοὺς ὅρκους αὐτοῖς ἀποδοίη, τοὺς πρὸς Θετταλοὺς καὶ
the oaths to-them should-give the-ones toward Thessalians and
Θηβαίους ὅρκους παραβαίνειν εὐθὺς ἀναγκαῖον ἦν, ὧν
Thebans oaths to-transgress at-once necessary was of-whom
τοῖς μὲν τὴν Βοιωτίαν συνεξαιρήσειν ὠμωμόκει,
to-the-ones indeed — Boeotia to-be-going-to-help-subdue he-had-sworn
τοῖς δὲ τὴν πυλαίαν συγκαταστήσειν· εἰ δὲ μὴ
to-the-others and the pylaea to-be-going-to-help-restore if but not
προσδέχοιτο, ὥσπερ οὐ προσίετο, οὐκ ἐάσειν ὑμᾶς
he-should-accept as-indeed not he-admitted not to-be-going-to-allow you
παρελθεῖν αὐτὸν ἡγεῖτο, ἀλλὰ βοηθήσειν εἰς Πύλας,
to-pass him he-thought but to-be-going-to-march to Pylae
ὅπερ, εἰ μὴ παρεκρούσθητε, ἐποιήσατ' ἄν· εἰ δὲ
which-very if not you-had-been-misled you-would-have-done — if and
τοῦτο γένοιτο, οὐκ ἐνεῖναι παρελθεῖν ἐλογίζετο.
this happened not to-be-possible to-pass he-reckoned
καὶ τοῦτ' οὐ παρ' ἄλλων αὐτὸν ἔδει πυθέσθαι, ἀλλ' 319
and this not from others him was-needful to-learn but
αὐτὸς ὑπῆρχε μάρτυς ἑαυτῷ τοῦ πράγματος· ὅτε γὰρ
himself he-was witness to-himself of-the matter when for
Φωκέας ἐκράτησε τὸ πρῶτον καὶ διέφθειρε τοὺς ξένους
Phocians he-defeated the first and destroyed the mercenaries
αὐτῶν καὶ τὸν ἡγούμενον καὶ στρατηγοῦντ' Ὀνόμαρχον,
of-them and the leader and general Onomarchus
τότε τῶν ὄντων ἀνθρώπων ἁπάντων οὐδενός, οὔθ'
then of-the existing men all no-one either
Ἕλληνος οὔτε βαρβάρου, Φωκεῦσι βοηθήσαντος πλὴν
Greek or barbarian the-Phocians having-helped except

ὑμῶν, οὐχ ὅπως παρῆλθεν ἢ διεπράξαθ' ὧν ἐβουλήθη
you not-only-not that he-passed or accomplished of-what he-wished
τι παρελθών, ἀλλ' οὐδὲ προσελθεῖν ἐγγὺς ἐδυνήθη.
anything having-passed but not-even to-approach near could
320 ᾔδει δὴ σαφῶς, οἶμαι, τοῦθ' ὅτι νῦν, ἡνίκ' ἐστασίαζε
he-knew indeed clearly I-think this that now when were-in-revolt
μὲν αὐτῷ τὰ Θετταλῶν, καὶ Φεραῖοι πρῶτον οὐ
indeed against-him the-things of-Thessalians and Pheraeans first not
συνηκολούθουν, ἐκρατοῦντο δὲ Θηβαῖοι καὶ μάχην ἥττηντο
followed were-being-beaten and Thebans and a-battle had-lost
καὶ τρόπαιον ἀπ' αὐτῶν εἱστήκει, οὐκ ἔνεστι παρελθεῖν,
and a-trophy over them stood not it-is-possible to-pass
εἰ βοηθήσεθ' ὑμεῖς, οὐδ', ἂν ἐπιχειρῇ, χαιρήσει, εἰ
if will-come-to-help you nor if he-tries he-will-get-off-well if
μή τις τέχνη προσγενήσεται. πῶς οὖν μήτε ψεύσωμαι
not some trick shall-be-added how then neither may-I-lie
φανερῶς, μήτ' ἐπιορκεῖν δόξας πάνθ' ἃ βούλομαι
openly nor to-forswear having-seemed all which I-wish
διαπράξωμαι; πῶς; οὕτως, ἂν Ἀθηναίων τινὰς εὕρω τοὺς
may-I-accomplish how so if of-Athenians some I-find the
Ἀθηναίους ἐξαπατήσοντας· ταύτης γὰρ οὐκέτ' ἐγὼ τῆς
Athenians going-to-deceive of-this for no-longer I the
αἰσχύνης κληρονομῶ.
shame am-heir
321 ἐντεῦθεν οἱ μὲν παρ' ἐκείνου πρέσβεις προὔλεγον ὑμῖν
thereupon the indeed from him envoys forewarned you
ὅτι Φωκέας οὐ προσδέχεται Φίλιππος συμμάχους, οὗτοι
that Phocians not accepts Philip as-allies these-men
δ' ἐκδεχόμενοι τοιαῦτ' ἐδημηγόρουν, ὡς φανερῶς μὲν
but taking-it-up such-things harangued that openly indeed
οὐχὶ καλῶς ἔχει τῷ Φιλίππῳ προσδέξασθαι τοὺς Φωκέας
not well it-is — for-Philip to-accept the Phocians

συμμάχους διὰ τοὺς Θηβαίους καὶ τοὺς Θετταλούς, ἂν δὲ
as-allies because-of the Thebans and the Thessalians if but
γένηται τῶν πραγμάτων κύριος καὶ τῆς εἰρήνης τύχῃ, ἅπερ
he-becomes of-the affairs master and the peace obtains what-very
ἂν συνθέσθαι νῦν ἀξιώσαιμεν αὐτόν, ταῦτα ποιήσει τότε.
— *to-agree now we-might-ask him these-things he-will-do then*
τὴν μὲν τοίνυν εἰρήνην ταύταις ταῖς ἐλπίσι καὶ ταῖς 322
the indeed then peace by-these the hopes and the
ἐπαγωγαῖς εὕροντο παρ᾽ ὑμῶν ἄνευ Φωκέων· τὴν δὲ
inducements they-obtained from you without Phocians the but
βοήθειαν ἔδει κωλῦσαι τὴν εἰς τὰς Πύλας, ἐφ᾽ ἣν αἱ
expedition it-was-needful to-prevent the to — Pylae for which the
πεντήκοντα τριήρεις ὅμως ἐφώρμουν, ἵν᾽, εἰ πορεύοιτο
fifty triremes nevertheless lay-at-anchor so-that if should-march
Φίλιππος, κωλύοιθ᾽ ὑμεῖς. πῶς οὖν;
Philip might-stop-him you how then
τίς τέχνη πάλιν αὖ γενήσεται περὶ ταύτης; τοὺς χρόνους 323
what trick again in-turn will-be about this the times
ὑμῶν ἀφελέσθαι καὶ ἐπιστῆσαι τὰ πράγματ᾽ ἀγαγόντας
from-you to-take-away and to-spring the affairs having-brought
ἄφνω, ἵνα μηδ᾽ ἂν βούλησθε δύνησθ᾽ ἐξελθεῖν.
suddenly so-that not-even if you-wish you-may-be-able to-march-out
οὐκοῦν τοῦθ᾽ οὗτοι πράττοντες φαίνονται, ἐγὼ δ᾽, ὥσπερ
therefore this these-men doing appear I but as
ἀκηκόατ᾽ ἤδη πολλάκις, οὐχὶ δυνηθεὶς προαπελθεῖν,
you-have-heard already often not having-been-able to-leave-before
ἀλλὰ καὶ μισθωσάμενος πλοῖον κατακωλυθεὶς ἐκπλεῦσαι.
but even having-hired a-boat prevented to-sail-off

The Phocians are made to trust Philip and surrender, while the envoys' reports keep Athens from voting against it. So everything is ruined: instead of Thespiae and Plataea resettled, Orchomenus and Coronea are enslaved and Thebes razes the allies' walls; instead of Euboea for Amphipolis, Philip builds bases in Euboea; instead of the temple's rites restored, the Amphictyons are driven out and Macedonians sit in their place. Aeschines will blame Chares, but the charge is not the war or the peace itself; it is that he backed Philocrates, took bribes, wasted time, and lied. His fine voice should not count for him, since a herald needs a voice and an envoy honesty.

324 ἀλλὰ καὶ πιστεῦσαι Φωκέας ἔδει Φιλίππῳ
but also to-trust Phocians it-was-needful Philip
καὶ ἑκόντας ἑαυτοὺς ἐνδοῦναι, ἵνα μηδεὶς χρόνος
and willingly themselves to-surrender so-that no delay
ἐγγένηται τοῖς πράγμασι μηδ' ἐναντίον ἔλθῃ
might-intervene in-the affairs nor opposed come
ψήφισμα παρ' ὑμῶν μηδέν. οὐκοῦν ὡς μὲν οἱ
decree from you any therefore that indeed the
Φωκεῖς σωθήσονται, παρὰ τῶν Ἀθηναίων πρέσβεων
Phocians will-be-saved by the Athenian envoys
ἀπαγγελθήσεται, ὥστε καὶ εἴ τις ἐμοὶ διαπιστεῖ,
it-will-be-reported so-that even if anyone me distrusts
τούτοις πιστεύσας αὑτὸν ἐγχειριεῖ· τοὺς δ' Ἀθηναίους
these having-trusted himself will-hand-over the but Athenians
αὐτοὺς μεταπεμψόμεθ' ἡμεῖς, ἵνα πάνθ', ὅσ' ἂν
themselves will-send-for we so-that all as-much-as —
βούλωνται, νομίσαντες ὑπάρχειν σφίσι μηδὲν ἐναντίον
they-wish thinking to-be-assured to-them nothing opposed
ψηφίσωνται· οὗτοι δὲ τοιαῦτ' ἀπαγγελοῦσι παρ' ἡμῶν
they-may-vote these-men and such-things will-report from us

καὶ ὑποσχήσονται ἐξ ὧν μηδ' ἂν ὁτιοῦν ᾖ
and will-promise from which not-even if anything-whatever happen
κινηθήσονται.
they-will-be-stirred
τοῦτον τὸν τρόπον καὶ τοιαύταις τέχναις ὑπὸ τῶν 325
in-this the way and by-such tricks by the
κάκιστ' ἀπολουμένων ἀνθρώπων πάντα τὰ πράγματ'
most-miserably going-to-perish men all the affairs
ἀπώλετο. καὶ γάρ τοι παραχρῆμα, ἀντὶ μὲν τοῦ
were-ruined and for surely at-once instead-of indeed the
Θεσπιὰς καὶ Πλαταιὰς ἰδεῖν οἰκιζομένας, Ὀρχομενὸν
Thespiae and Plataea to-see being-resettled Orchomenus
καὶ Κορώνειαν ἠκούσατ' ἠνδραποδισμένας, ἀντὶ δὲ
and Coronea you-heard enslaved instead-of and
τοῦ τὰς Θήβας ταπεινὰς γενέσθαι καὶ περιαιρεθῆναι
the — Thebes humbled to-become and to-be-stripped-of
τὴν ὕβριν καὶ τὸ φρόνημα, τὰ τῶν συμμάχων τῶν
the insolence and the pride the of-the allies the
ὑμετέρων τείχη κατεσκάπτετο· Θηβαῖοι δ' ἦσαν οἱ
your walls were-razed Thebans and were the-ones
κατασκάπτοντες, οἱ διοικισθέντες ὑπ' Αἰσχίνου τῷ
razing the-ones dispersed by Aeschines in-the
λόγῳ.
speech
ἀντὶ δὲ τοῦ τὴν Εὔβοιαν ἀντ' Ἀμφιπόλεως 326
instead-of and the — Euboea in-exchange-for Amphipolis
ὑμῖν παραδοθῆναι, ὁρμητήρι' ἐφ' ὑμᾶς ἐν Εὐβοίᾳ
to-you to-be-handed-over bases against you in Euboea
Φίλιππος προσκατασκευάζεται καὶ Γεραιστῷ καὶ
Philip is-preparing-besides and Geraestus and
Μεγάροις ἐπιβουλεύων διατελεῖ. ἀντὶ δὲ τοῦ
Megara plotting-against continues instead-of and the

τὸν Ὠρωπὸν ὑμῖν ἀποδοθῆναι, περὶ Δρυμοῦ
— *Oropus to-you to-be-restored about Drymus*
καὶ τῆς πρὸς Πανάκτῳ χώρας μεθ' ὅπλων
and the at Panactum land with arms
ἐξερχόμεθα, ὅ, τέως ἦσαν Φωκεῖς σῳοι, οὐδεπώποτ'
we-march-out which while were Phocians safe never
ἐποιήσαμεν.
we-did

327 ἀντὶ δὲ τοῦ τὰ πάτρι' ἐν τῷ ἱερῷ κατασταθῆναι
instead-of and the the ancestral-rites in the temple to-be-restored
καὶ τὰ χρήματ' εἰσπραχθῆναι τῷ θεῷ, οἱ μὲν
and the money to-be-exacted for-the god the indeed
ὄντες Ἀμφικτύονες φεύγουσι καὶ ἐξελήλανται, καὶ
being Amphictyons are-exiled and have-been-driven-out and
ἀνάστατος αὐτῶν ἡ χώρα γέγονεν, οἱ δ' οὐπώποτ'
desolate of-them the land has-become the-ones but never
ἐν τῷ πρόσθεν χρόνῳ γενόμενοι Μακεδόνες καὶ
in the former time having-been Macedonians and
βάρβαροι, νῦν Ἀμφικτύονες εἶναι βιάζονται· ἐὰν
barbarians now Amphictyons to-be force-themselves if
δέ τις περὶ τῶν ἱερῶν χρημάτων μνησθῇ,
and anyone about the sacred money makes-mention
κατακρημνίζεται, ἡ πόλις δὲ τὴν προμαντείαν
he-is-thrown-from-the-cliff the city and the precedence-at-the-oracle
ἀφῄρηται.
has-been-deprived-of

328 καὶ γέγονεν τὰ πράγματα πάνθ' ὥσπερ αἴνιγμα τῇ
and have-become the affairs all like a-riddle for-the
πόλει. ὁ μὲν οὐδὲν ἔψευσται καὶ πάνθ' ὅσ'
city he indeed in-nothing has-lied and all as-much-as
ἐβουλήθη διαπέπρακται, ὑμεῖς δ' ἅπερ εὔξαισθ' ἂν
he-wished has-accomplished you but what-very you-would-pray —

ἐλπίσαντες, τἀναντία τούτων ἑοράκατε γιγνόμενα, καὶ
having-hoped the-opposite of-these have-seen happening and
δοκεῖτε μὲν εἰρήνην ἄγειν, πεπόνθατε δὲ δεινότερ᾽
you-seem indeed peace to-keep you-have-suffered but worse
ἢ πολεμοῦντες· οὗτοι δὲ χρήματ᾽ ἔχουσιν ἐπὶ
than at-war these-men and money have for
τούτοις καὶ μέχρι τῆς τήμερον ἡμέρας δίκην οὐ
these-things and until the present day penalty not
δεδώκασιν.
have-paid
ὅτι γὰρ ταῦθ᾽ ἁπλῶς δεδωροδόκηται καὶ τιμὴν 329
that for these-things simply have-been-bribed-for and price
ἔχουσιν ἁπάντων τούτων οὗτοι, πολλαχόθεν μὲν
they-have for-all these these-men from-many-sides indeed
ἔγωγ᾽ οἶμαι δῆλον ὑμῖν εἶναι πάλαι, καὶ δέδοικα
I-at-least think clear to-you to-be long-since and I-fear
μὴ τοὐναντίον οὗ βούλομαι ποιῶ, σφόδρ᾽
lest the-opposite of-what I-wish I-do very
ἀκριβῶς δεικνύναι πειρώμενος διοχλῶ πάλαι τοῦτ᾽
exactly to-show trying I-weary long-since this
αὐτοὺς ὑμᾶς εἰδότας· ὅμως δ᾽ ἔτι καὶ τόδ᾽
yourselves you knowing nevertheless but still also this
ἀκούσατε.
hear
ἔσθ᾽ ὅντιν᾽ ὑμεῖς, ὦ ἄνδρες δικασταί, τῶν πρέσβεων 330
is-there whom you O men jurors of-the envoys
ὧν ἔπεμψε Φίλιππος χαλκοῦν στήσαιτ᾽ ἂν ἐν ἀγορᾷ;
whom sent Philip in-bronze would-set-up — in the-marketplace
τί δέ; δοίητ᾽ ἂν ἐν πρυτανείῳ σίτησιν ἢ ἄλλην
what and would-you-give — in prytaneum meals or other
τινὰ δωρειάν, αἷς τιμᾶτε τοὺς εὐεργέτας; ἐγὼ
any gift with-which you-honor the benefactors I

μὲν οὐκ οἶμαι. διὰ τί; (οὔτε γὰρ ὑμεῖς γ'
indeed not think because-of what neither for you at-least
ἀχάριστοί ἐστ' οὔτ' ἄδικοι ἄνθρωποι οὔτε κακοί.)
ungrateful are nor unjust men nor bad
ὅτι πάνθ' ὑπὲρ Φιλίππου καὶ οὐδ' ὁτιοῦν
because all for Philip and not-even anything-whatever
ὑπὲρ ὑμῶν ἔπραξαν, εἴποιτ' ἄν, καὶ ἀληθῆ καὶ
for you they-did you-would-say — both true and
δίκαια.
just

331 εἶτ' οἴεσθ' ὑμεῖς μὲν οὕτω γιγνώσκειν, τὸν δὲ Φίλιππον
then do-you-think you indeed so to-judge — but Philip
οὐχ οὕτω, ἀλλὰ τούτοις διδόναι τηλικαύτας καὶ τοσαύτας
not so but to-these to-give so-great and so-many
δωρειὰς διότι ὑπὲρ ὑμῶν καλῶς καὶ δικαίως ἐπρέσβευσαν;
gifts because for you well and justly they-served-as-envoys
οὐκ ἔστι ταῦτα. τὸν γὰρ Ἡγήσιππον ὁρᾶτε καὶ τοὺς μετ'
not is these-things — for Hegesippus you-see and the with
αὐτοῦ πρέσβεις πῶς ἐδέξατο. τὰ μὲν ἄλλα σιωπῶ,
him envoys how he-received the indeed other-things I-pass-over
ἀλλὰ Ξενοκλείδην τουτονὶ τὸν ποιητὴν ἐξεκήρυξεν,
but Xenocleides this-here the poet he-banished-by-proclamation
ὅτι αὐτοὺς ὑπεδέξατο πολίτας ὄντας. τοῖς μὲν γὰρ
because them he-received citizens being to-the-ones indeed for
ὑπὲρ ὑμῶν λέγουσι δικαίως ὅσ' ἂν φρονῶσι τοῦτον
for you speaking justly as-much-as — they-think in-this
τὸν τρόπον προσφέρεται, τοῖς δὲ πεπρακόσιν αὑτοὺς
the way he-behaves to-the-ones but having-sold themselves
ὡς τούτοις. ταῦτ' οὖν μαρτύρων, ταῦτ' ἐλέγχων
as to-these these-things then of-witnesses these-things of-proofs

τινῶν ἔτι δεῖται μειζόνων; ταῦτ' ἀφαιρήσεταί τις
some still need greater these-things will-take-away anyone
ὑμῶν;
from-you
εἶπε τοίνυν μοί τις ἄρτι προσελθὼν πρὸ τοῦ 332
told then me someone just-now having-come-up before the
δικαστηρίου πρᾶγμα καινότατον πάντων, Χάρητος
court a-thing newest of-all Chares
κατηγορεῖν αὐτὸν παρεσκευάσθαι, καὶ διὰ τούτου τοῦ
to-accuse him to-have-prepared and through this the
τρόπου καὶ τούτων τῶν λόγων ἐξαπατήσειν ὑμᾶς
way and these the words to-be-going-to-deceive you
ἐλπίζειν. ἐγὼ δ' ὅτι μὲν πάντα τρόπον κρινόμενος
to-hope I but that indeed every way being-tried
Χάρης εὕρηται πιστῶς καὶ εὐνοϊκῶς, ὅσον ἦν ἐπ'
Chares has-been-found faithfully and loyally as-far-as was in
ἐκείνῳ, πράττων ὑπὲρ ὑμῶν, διὰ τοὺς δ' ἐπὶ χρήμασι
him acting for you because-of the-ones but for money
λυμαινομένους τοῖς πράγμασι πολλῶν ὑστερῶν, οὐ
ruining the affairs many-things falling-short-of not
σφόδρ' ἰσχυρίζομαι, ἀλλ' ὑπερβολὴν ποιήσομαι· ἔστω
much I-insist but excess I-will-make let-it-be
γὰρ πάντ' ἀληθῆ λέξειν περὶ αὐτοῦ τουτονί. καὶ
for all true to-be-going-to-say about him this-here and
οὕτω τοίνυν κομιδῇ γέλως ἐστὶ κατηγορεῖν ἐκείνου
so then entirely laughter is to-accuse him
τουτονί.
this-here
ἐγὼ γὰρ Αἰσχίνην οὐδενὸς αἰτιῶμαι τῶν ἐν τῷ 333
I for Aeschines of-nothing accuse of-the-things in the
πολέμῳ πραχθέντων (τούτων γάρ εἰσιν οἱ στρατηγοὶ
war done for-these for are the generals

ὑπεύθυνοι), οὐδὲ τοῦ ποιήσασθαι τὴν πόλιν εἰρήνην,
accountable nor of-the to-have-made the city peace
ἀλλ' ἄχρι τούτου πάντ' ἀφίημι. τί οὖν λέγω καὶ
but up-to this all I-let-go what then do-I-say and
πόθεν ἄρχομαι κατηγορεῖν; τοῦ ποιουμένης τῆς πόλεως
from-where do-I-begin to-accuse of-the making the city
εἰρήνην Φιλοκράτει συνειπεῖν, ἀλλὰ μὴ τοῖς τὰ
peace Philocrates to-have-supported but not the-ones the
βέλτιστα γράφουσι, τοῦ δῶρ' εἰληφέναι, τοῦ μετὰ
best-things proposing of-the bribes to-have-taken of-the after
ταῦτ' ἐπὶ τῆς ὑστέρας πρεσβείας τοὺς χρόνους
these-things on the later embassy the times
κατατρῖψαι καὶ μηδὲν ὧν προσετάξαθ' ὑμεῖς ποιῆσαι,
to-have-wasted and nothing of-what ordered you to-have-done
τοῦ φενακίσαι τὴν πόλιν καὶ παραστήσαντ' ἐλπίδας,
of-the to-have-cheated the city and having-held-out hopes
ὡς ὅσα βουλόμεθ' ἡμεῖς Φίλιππος πράξει, πάντ'
that as-much-as wish we Philip will-do all
ἀπολωλεκέναι, τοῦ μετὰ ταῦθ', ἑτέρων προλεγόντων
to-have-ruined of-the after these-things others warning
φυλάττεσθαι τὸν τοσαῦτ' ἠδικηκότα, τοῦτον ἐκείνῳ
to-guard-against the-one so-much having-done-wrong this-man him
συνηγορεῖν.
to-support
334 ταῦτα κατηγορῶ, ταῦτα μέμνησθε, ἐπεὶ δικαίαν
these-things I-charge these-things remember since just
εἰρήνην καὶ ἴσην καὶ μηδὲν πεπρακότας ἀνθρώπους
peace and equal and nothing having-sold men
μηδὲ ψευσαμένους ὕστερον κἂν ἐπῄνουν καὶ στεφανοῦν
nor having-lied later even I-would-praise and to-crown
ἐκέλευον. στρατηγὸς δ' εἴ τις ἠδίκηκεν ὑμᾶς, οὐχὶ
I-would-bid general but if any has-wronged you not

κοινωνεῖ ταῖς νῦν εὐθύναις. ποῖος γὰρ στρατηγὸς
has-part-in the present audits what for general
Ἅλον, τίς δὲ Φωκέας ἀπολώλεκε; τίς δὲ Δορίσκον;
Halus who and Phocians has-destroyed who and Doriscus
τίς δὲ Κερσοβλέπτην; τίς δ' Ἱερὸν ὄρος; τίς
who and Cersobleptes who and Sacred Mountain who
δὲ Πύλας; τίς δὲ πεποίηκεν ἄχρι τῆς Ἀττικῆς
and Pylae who and has-made up-to — Attica
ὁδὸν διὰ συμμάχων καὶ φίλων εἶναι Φιλίππῳ;
a-road through allies and friends to-be for-Philip
τίς δὲ Κορώνειαν, τίς δ' Ὀρχομενόν, τίς Εὔβοιαν
who and Coronea who and Orchomenus who Euboea
ἀλλοτρίαν;
alien
τίς Μέγαρα πρώην ὀλίγου; τίς Θηβαίους ἰσχυρούς; 335
who Megara lately almost who Thebans strong
τούτων γὰρ οὐδὲν τοσούτων καὶ τηλικούτων ὄντων
of-these for nothing so-many and so-great being
διὰ τοὺς στρατηγοὺς ἀπώλετο, οὐδ' ἐν τῇ εἰρήνῃ
because-of the generals was-lost nor in the peace
συγχωρηθὲν πεισθέντων ὑμῶν ἔχει Φίλιππος, ἀλλὰ
having-been-conceded persuaded you holds Philip but
διὰ τούτους ἀπόλωλε καὶ τὴν τούτων δωροδοκίαν.
because-of these-men it-has-perished and the of-these-men bribe-taking
ἂν τοίνυν ταῦτα μὲν φεύγῃ, πλανᾷ δὲ καὶ πάντα
if then these-things indeed he-avoids he-wanders and also all-things
μᾶλλον λέγῃ, ἐκείνως αὐτὸν δέχεσθε. 'οὐ στρατηγῷ
rather says thus him receive not a-general
δικάζομεν, οὐ περὶ τούτων κρίνει. μὴ λέγ' εἴ τις
we-are-judging not about these-things you-are-tried not say if anyone
αἴτιός ἐστι καὶ ἄλλος τοῦ Φωκέων ὀλέθρου, ἀλλ' ὡς
responsible is also other for-the of-Phocians destruction but that

οὐ σὺ αἴτιος δεῖξον. τί οὖν, εἴ τι Δημοσθένης
not you responsible show why then if in-anything Demosthenes
ἠδίκει, νῦν λέγεις, ἀλλ᾽ οὐχ ὅτε τὰς εὐθύνας ἐδίδου
did-wrong now do-you-say-it but not when the audits he-was-giving
κατηγόρεις; δι᾽ αὐτὸ γὰρ εἶ τοῦτ᾽ ἀπολωλέναι
did-you-accuse because-of itself for you-are this to-perish
δίκαιος.᾽
deserving

336 ‘μὴ λέγ᾽ ὡς καλὸν εἰρήνη, μηδ᾽ ὡς συμφέρον· οὐδεὶς
not say how fine peace nor how advantageous no-one
γὰρ αἰτιᾶταί σε τοῦ ποιήσασθαι τὴν πόλιν εἰρήνην·
for charges you with-the to-have-made the city peace
ἀλλ᾽ ὡς οὐκ αἰσχρὰ καὶ ἐπονείδιστος, καὶ πόλλ᾽
but that not shameful and disgraceful and in-many-things
ὕστερον ἐξηπατήμεθα, καὶ πάντ᾽ ἀπώλετο, ταῦτα λέγε.
later we-have-been-deceived and all was-lost these-things say
τούτων γὰρ ἁπάντων ἡμῖν αἴτιος σὺ δέδειξαι. καὶ τί
of-these for all for-us responsible you have-been-shown and why
δὴ μέχρι νυνὶ τὸν τὰ τοιαῦτα πεποιηκότ᾽ ἐπαινεῖς;᾽ ἂν
indeed until now the-one the such-things having-done do-you-praise if
οὕτω φυλάττητ᾽ αὐτόν, οὐχ ἕξει τί λέγῃ, ἀλλὰ τὴν
so you-watch him not he-will-have what to-say but the
ἄλλως ἐνταῦθ᾽ ἐπαρεῖ τὴν φωνὴν καὶ πεφωνασκηκὼς
idly here he-will-raise the voice and having-practiced-his-voice
ἔσται.
will-be

337 καίτοι καὶ περὶ τῆς φωνῆς ἴσως εἰπεῖν ἀνάγκη· πάνυ
and-yet also about the voice perhaps to-speak necessary very
γὰρ μέγα καὶ ἐπὶ ταύτῃ φρονεῖν αὐτὸν ἀκούω, ὡς
for greatly also on this to-pride-himself him I-hear as
καθυποκρινούμενον ὑμᾶς. ἐμοὶ δὲ δοκεῖτ᾽ ἀτοπώτατον
going-to-out-act you to-me but you-seem most-absurd

ἁπάντων ἂν ποιῆσαι, εἰ, ὅτε μὲν τὰ Θυέστου καὶ
of-all — to-do if when indeed the of-Thyestes and
τῶν ἐπὶ Τροίᾳ κάκ᾽ ἠγωνίζετο, ἐξεβάλλετ᾽ αὐτὸν
of-the-men at Troy woes he-played you-drove-out him
καὶ ἐξεσυρίττετ᾽ ἐκ τῶν θεάτρων καὶ μόνον οὐ
and hissed out-of the theaters and only not
κατελεύεθ᾽ οὕτως ὥστε τελευτῶντα τοῦ τριταγωνιστεῖν
stoned so that finally from-the playing-third-parts
ἀποστῆναι, ἐπειδὴ δ᾽ οὐκ ἐπὶ τῆς σκηνῆς, ἀλλ᾽ ἐν
to-withdraw when but not on the stage but in
τοῖς κοινοῖς καὶ μεγίστοις τῆς πόλεως πράγμασι
the public and greatest of-the city affairs
μυρί᾽ εἴργασται κακά, τηνικαῦθ᾽ ὡς καλὸν φθεγγομένῳ
countless he-has-done evils then as finely speaking
προσέχοιτε.
you-should-attend
μηδαμῶς· μηδὲν ὑμεῖς ἀβέλτερον πάθητε, ἀλλὰ λογίζεσθ᾽ 338
by-no-means nothing you stupid suffer but reckon
ὅτι δεῖ κήρυκα μὲν ἂν δοκιμάζητε, εὔφωνον
that one-must a-herald indeed if you-are-testing fine-voiced
σκοπεῖν, πρεσβευτὴν δὲ καὶ τῶν κοινῶν ἀξιοῦντά
to-look-for an-envoy but also the public-affairs claiming
τι πράττειν δίκαιον καὶ φρόνημ᾽ ἔχονθ᾽ ὑπὲρ
something to-do just and spirit having for
μὲν ὑμῶν μέγα, πρὸς δ᾽ ὑμᾶς ἴσον, ὥσπερ ἐγὼ
indeed you great toward but you equal just-as I
Φίλιππον μὲν οὐκ ἐθαύμασα, τοὺς δ᾽ αἰχμαλώτους
Philip indeed not admired the but prisoners
ἐθαύμασα, ἔσωσα, οὐδὲν ὑπεστειλάμην. οὗτος δ᾽ ἐκείνου
I-admired I-saved nothing I-held-back this-man but before-him

μὲν προὐκαλινδεῖτο, τοὺς παιᾶνας ᾖδεν, ὑμῶν δ'
indeed groveled the paeans sang you but
ὑπερορᾷ.
despises
339 ἔτι τοίνυν ὅταν μὲν ἴδητε δεινότητ' ἢ εὐφωνίαν ἤ
further then whenever indeed you-see cleverness or fine-voice or
τι τῶν ἄλλων τῶν τοιούτων ἀγαθῶν ἐπὶ χρηστοῦ
any of-the other the such goods in a-good
καὶ φιλοτίμου γεγενημένον ἀνθρώπου, συγχαίρειν
and public-spirited occurring man to-rejoice-with
καὶ συνασκεῖν πάντας δεῖ· κοινὸν γὰρ ὑμῖν πᾶσι
and to-help-cultivate all must common for for-you all
τοῖς ἄλλοις τοῦτ' ἀγαθὸν γίγνεται· ὅταν δ' ἐπὶ
the others this good becomes whenever but in
δωροδόκου καὶ πονηροῦ καὶ παντὸς ἥττονος λήμματος,
a-bribe-taker and wicked and to-every yielding gain
ἀποκλείειν καὶ πικρῶς καὶ ἐναντίως ἀκούειν, ὡς πονηρία
to-shut-out and bitterly and adversely to-hear as wickedness
δυνάμεως δόξαν εὑρομένη παρ' ὑμῶν ἐπὶ τὴν πόλιν
of-power reputation having-found from you against the city
ἐστίν.
is
340 ὁρᾶτε δ', ἀφ' ὧν οὗτος εὐδοκιμεῖ πηλίκα τῇ
you-see and from what this-man is-esteemed how-great for-the
πόλει περιέστηκε πράγματα. αἱ μὲν τοίνυν ἄλλαι
city have-come-about troubles the indeed then other
δυνάμεις ἐπιεικῶς εἰσιν αὐτάρκεις, ἡ δὲ τοῦ
powers fairly are self-sufficient the but of-the
λέγειν, ἂν τὰ παρ' ὑμῶν τῶν ἀκουόντων
speaking if the-things from you the hearers
ἀντιστῇ, διακόπτεται. οὕτως οὖν ἀκούετε τούτου ὡς
resist is-broken so then hear him as

πονηροῦ καὶ δωροδόκου καὶ οὐδ' ὁτιοῦν ἐροῦντος
wicked and bribe-taking and not-even anything going-to-say
ἀληθές.
true
ὅτι δ' οὐ μόνον κατὰ τἄλλα, ἀλλὰ καὶ τὰ 341
that and not only in the-rest but also the
πρὸς αὐτὸν τὸν Φίλιππον πράγματα πανταχῶς
toward himself — Philip affairs in-every-way
συμφέρει τοῦτον ἑαλωκέναι, θεάσασθε. εἴτε γὰρ
it-is-advantageous this-man to-be-convicted behold whether for
ἥξει ποτ' εἰς ἀνάγκην τῶν δικαίων τι
he-will-come ever into necessity of-the just-things anything
ποιεῖν τῇ πόλει, τὸν τρόπον μεταθήσεται· νῦν
to-do for-the city the manner he-will-change now
μὲν γὰρ ᾕρηται τοὺς πολλοὺς ἐξαπατῶν ὀλίγους
indeed for he-has-chosen the many deceiving few
θεραπεύειν, ἂν δὲ τούτους ἀπολωλότας πύθηται, ὑμῖν
to-court if but these ruined he-learns for-you
τοῖς πολλοῖς καὶ πάντων κυρίοις τὰ λοιπὰ ποιεῖν
the many and of-all masters the rest to-do
βουλήσεται.
he-will-wish
εἴτ' ἐπὶ τῆς αὐτῆς ἥσπερ νῦν ἐξουσίας καὶ 342
or on the same which-very now license and
ἀσελγείας μενεῖ, τοὺς ὁτιοῦν ἂν ἐκείνῳ
wantonness he-will-remain the-ones anything-whatever — for-him
ποιήσαντας ἀνῃρηκότες ἐκ τῆς πόλεως ἔσεσθε, ἂν
having-done having-removed from the city you-will-be if
τούτους ἀνέλητε· οἳ γὰρ οἰόμενοι δίκην ὑφέξειν
these you-remove who for thinking penalty to-be-going-to-pay
τοιαῦτ' ἔπραξαν, τούτους, ἂν τὰ παρ' ὑμῶν
such-things did these if the-things from you

αὐτοῖς ἐφεθῇ, τί οἴεσθε ποιήσειν; ποῖον
to-them be-permitted what do-you-think to-be-going-to-do what
Εὐθυκράτη, ποῖον Λασθένη, τίν' οὐχ ὑπερβαλεῖσθαι
Euthycrates what Lasthenes what not to-be-going-to-surpass
προδότην;
traitor
343 τίνα δ' οὐ πάντων τῶν ἄλλων χείρω πολίτην
whom and not of-all the others worse citizen
ὑπάρξειν, ὁρῶντα τοῖς μὲν ἅπαντα πεπρακόσι
to-be-going-to-be seeing for-the-ones indeed all having-sold
χρήματα, δόξαν, ἀφορμὴν τὴν Φιλίππου ξενίαν
money repute resources the of-Philip guest-friendship
περιοῦσαν, τοῖς δὲ δικαίους τε παρέχουσιν
resulting for-the-ones but just both showing
ἑαυτοὺς καὶ προσανηλωκόσι χρήματα πράγματα,
themselves and having-spent-besides money troubles
ἀπεχθείας, φθόνον περιόντα παρ' ἐνίων; μηδαμῶς·
enmities envy resulting from some by-no-means
οὔτε γὰρ πρὸς δόξαν οὔτε πρὸς εὐσέβειαν οὔτε πρὸς
neither for for repute nor for piety nor for
ἀσφάλειαν οὔτε πρὸς ἄλλ' οὐδὲν ὑμῖν συμφέρει
safety nor for other nothing for-you it-is-advantageous
τοῦτον ἀφεῖναι, ἀλλὰ τιμωρησαμένους παράδειγμα
this-man to-acquit but having-punished an-example
ποιῆσαι πᾶσι, καὶ τοῖς πολίταις καὶ τοῖς ἄλλοις
to-make for-all both the citizens and the other
Ἕλλησιν.
Greeks

AESCHINES

ΠΕΡΙ ΤΗΣ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ

On the Embassy

I · AESCHINES ASKS A HEARING

Aeschines asks the jurors to hear him with goodwill, given his danger, the number of charges, and his accuser's cruelty in urging them not to hear the defendant at all. He was most indignant at the charge of outrage against a free Olynthian woman, and glad when the jurors shouted Demosthenes down for it. If anyone believed it, he says, his life would not be worth living, and if he fails to prove the charge false, he proposes death for himself. He praises the Athenians for trusting a defendant's life over an enemy's charges, and turns Demosthenes' argument from Philocrates' flight: the man who fled condemned himself, while one who stands trial does not. Demosthenes has charged him with what Philocrates, Philip, and others did, prosecuted him like an Alcibiades or a Themistocles, and likened him to Dionysius of Sicily. Against such fabrication it is hard to remember everything, so he asks the jurors to question him on anything he leaves out, and he begins from the peace.

περιελὼν ἑτέρῳ περιθείη, οὐκ ἂν πολύ τι καταδεὴς
having-stripped on-another should-put not — much at-all inferior
εἴη. ἐδόκει Κτησιφῶντι τὴν ὄψιν λαμπρὸς εἶναι, ἐμοὶ
he-would-be seemed to-Ctesiphon the looks splendid to-be to-me
δ’ οὐ χείρων Ἀριστόδημος ὁ ὑποκριτής,’
but not worse Aristodemus the actor
παρῆν δ’ ἡμῖν καὶ συνεπρέσβευε. ‘μνημονικόν τις αὐτόν 52
was-with and us and was-fellow-envoy of-good-memory someone him
φησιν εἶναι· καὶ γὰρ ἕτεροι. πιεῖν δεινὸς ἦν· Φιλοκράτης
says to-be and for others to-drink clever was Philocrates
ὁ μεθ’ ἡμῶν δεινότερος. λόγον τίς φησιν ἐμοὶ
the-one with us cleverer a-speech someone says for-me
καταλιπεῖν ὑπὲρ Ἀμφιπόλεως· ἀλλ’ οὔτ’ ἂν ὑμῖν ὁ ῥήτωρ
to-have-left about Amphipolis but neither — to-you the orator
οὗτος οὔτ’ ἂν ἐμοὶ λόγου μεταδοίη. ταυτὶ μὲν οὖν’
this nor — to-me speech would-give-a-share these-things indeed then

53 ἔφη ‘λῆρός ἐστιν· ἐγὼ δὲ ψήφισμα γράψω καὶ τῷ κήρυκι
he-said nonsense is I but a-decree will-propose both with-the herald
σπείσασθαι τῷ παρὰ Φιλίππου ἥκοντι, καὶ τοῖς μέλλουσι
to-make-truce the from Philip having-come and the being-about
παρ’ αὐτοῦ δεῦρο ἰέναι πρέσβεσι, καὶ τοὺς πρυτάνεις,
from him here to-come envoys and the prytanes
ἐπειδὰν ἥκωσιν οἱ πρέσβεις, ἐκκλησίαν ἐπὶ δύο ἡμέρας
when come the envoys an-assembly for two days
ποιεῖν μὴ μόνον ὑπὲρ εἰρήνης, ἀλλὰ καὶ περὶ συμμαχίας,
to-hold not only about peace but also about alliance
καὶ τοὺς πρέσβεις ἡμᾶς, εἰ δοκοῦμεν ἄξιοι εἶναι, ἐπαινέσαι
and the envoys us if we-seem worthy to-be to-praise
καὶ καλέσαι ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον εἰς αὔριον.’
and to-invite to dinner in the prytaneum for tomorrow
54 ὅτι δ’ ἀληθῆ λέγω, λαβέ μοι τὰ ψηφίσματα, ἵνα εἰδῆτε,
that and true-things I-say take for-me the decrees so-that you-may-know
ὦ ἄνδρες δικασταί, καὶ τὴν ἀνωμαλίαν αὐτοῦ καὶ τὸν φθόνον,
O men jurors both the inconsistency his and the envy
καὶ τὴν τῶν πραγμάτων μετὰ Φιλοκράτους κοινωνίαν, καὶ
and the of-the affairs with Philocrates partnership and
τὸ ἦθος, ὡς ἐπίβουλον καὶ ἄπιστον. κάλει δέ μοι καὶ
the character how treacherous and faithless call and for-me also
τοὺς συμπρέσβεις, καὶ τὰς μαρτυρίας αὐτῶν ἀνάγνωθι.
the fellow-envoys and the testimonies their read
55 οὐ τοίνυν μόνον ταῦτα ἔγραψεν, ἀλλὰ καὶ μετὰ ταῦτα ἐν
not then only these-things he-proposed but also after these-things in
τῇ βουλῇ θέαν εἰς τὰ Διονύσια κατανεῖμαι τοῖς πρέσβεσιν,
the council a-seat at the Dionysia to-assign to-the envoys
ἐπειδὰν ἥκωσι, τοῖς Φιλίππου. λέγε καὶ τοῦτο τὸ ψήφισμα.
when they-come the of-Philip read also this the decree

ἀνάγνωθι δὴ καὶ τὴν τῶν συμπρέσβεων μαρτυρίαν, ἵν'
read indeed also the of-the fellow-envoys testimony so-that
εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι Δημοσθένης οὐχ ὑπὲρ
you-may-know O men Athenians that Demosthenes not for
τῆς πόλεως εἰπεῖν δύναται, ἀλλ' ἐπὶ τοὺς συσσίτους καὶ
the city to-speak is-able but against the messmates and
ὁμοσπόνδους μελετᾷ.
companions-in-libation he-practices

V · THE ASSEMBLIES ON THE PEACE

The partnership in the peace, Aeschines says, was Demosthenes' and Philocrates', not his. Demosthenes claims that Aeschines spoke before envoys from the Greek cities; but the envoys Athens had sent to summon them were still abroad, and Aeschines dares him to name one city, staking his life on it. The allies' resolution asked Athens to wait for those envoys and then deliberate on peace alone. Demosthenes' decree set the assemblies before they returned and added an alliance. Demosthenes also says Aeschines denounced Philocrates' peace on the first day and supported it on the second. But Demosthenes' own decree allowed speeches only in the first assembly, and Aeschines asks why he would attack a proposal one day and back it the next before the same hearers. Amyntor of Erchia testifies that in the second assembly Demosthenes showed him a decree making peace and alliance on the same terms as Philocrates'.

τὴν μὲν τοίνυν κοινωνίαν τῶν περὶ τῆς εἰρήνης 56
the indeed then partnership of-the about the peace
πράξεων οὐκ ἐμὴν καὶ Φιλοκράτους, ἀλλὰ Δημοσθένους
dealings not mine and Philocrates' but Demosthenes'
καὶ Φιλοκράτους εὑρίσκετε, καὶ τὰς πίστεις τῶν
and Philocrates' you-find and the proofs of-the
εἰρημένων ἱκανὰς ὑμῖν οἶμαι παρεσχῆσθαι· τῶν μὲν γὰρ
things-said sufficient to-you I-think to-have-provided of-the indeed for

ἀπηγγελμένων ὑμεῖς ἐστέ μοι μάρτυρες, τῶν δ' ἐν
reports you are for-me witnesses of-the and in
Μακεδονίᾳ ῥηθέντων καὶ τῶν κατὰ τὴν πορείαν ἡμῖν
Macedonia things-said and of-the on the journey to-us
συμβάντων τοὺς συμπρέσβεις ὑμῖν μάρτυρας παρεσχόμην.
happenings the fellow-envoys to-you as-witnesses I-produced
τῆς δὲ ὑπὸ Δημοσθένους ἀρτίως εἰρημένης κατηγορίας
the and by Demosthenes just-now spoken accusation
ἠκούσατε καὶ μέμνησθε, ἧς τὴν ἀρχὴν ἐποιήσατο ἀπὸ
you-heard and remember of-which the beginning he-made from
τῆς δημηγορίας ἣν εἶπον ἐγὼ περὶ τῆς εἰρήνης.
the speech which I-delivered I about the peace
57 πάντα δὲ ἐν τῷ μέρει τούτῳ τῆς κατηγορίας ἐψευσμένος,
all and in the part this of-the accusation having-lied
ἐπὶ τῷ καιρῷ τούτῳ δεινῶς ἐσχετλίασε. τοὺς γὰρ λόγους
at the moment this terribly he-protested the for words
τούτους ἐναντίον φησὶ τῶν πρέσβεων λέγεσθαι οὓς
these in-the-presence-of he-says of-the envoys to-have-been-spoken whom
ἔπεμψαν πρὸς ὑμᾶς οἱ Ἕλληνες μεταπεμφθέντες ὑπὸ
sent to you the Greeks having-been-summoned by
τοῦ δήμου, ἵνα κοινῇ καὶ πολεμοῖεν, εἰ δέοι,
the people so-that jointly both they-might-make-war if it-were-needful
Φιλίππῳ, καὶ τῆς εἰρήνης, εἰ τοῦτο εἶναι δοκοίη συμφέρον,
against-Philip and in-the peace if this to-be seemed advantageous
μετέχοιεν. σκέψασθε δὴ πράγματος μεγάλου κλοπὴν καὶ
they-might-share consider indeed of-a-matter great theft and
δεινὴν ἀναισχυντίαν τἀνθρώπου. τῶν γὰρ πρεσβειῶν,
terrible shamelessness of-the-man of-the for embassies
58 ἃς ἐξεπέμψατε εἰς τὴν Ἑλλάδα ἔτι τοῦ πολέμου τοῦ πρὸς
which you-sent into — Greece still the war the against
Φίλιππον ὑμῖν ἐνεστηκότος, οἱ μὲν χρόνοι τῆς αἱρέσεως
Philip for-you being-in-progress the indeed dates of-the election

καὶ τὰ τῶν πρεσβευσάντων ὀνόματα ἐν τοῖς δημοσίοις
and the of-the envoys names in the public
ἀναγέγραπται γράμμασι, τὰ δὲ σώματά ἐστιν αὐτῶν οὐκ
are-registered records the and persons are of-them not
ἐν Μακεδονίᾳ, ἀλλ' Ἀθήνησι· ταῖς δὲ ξενικαῖς πρεσβείαις
in Macedonia but at-Athens to-the and foreign embassies
ἡ βουλὴ τὰς εἰς τὸν δῆμον προσόδους προβουλεύει· οὗτος
the council the to the people hearings arranges this-man
δ' ἐφεστάναι τὰς ἀπὸ τῶν Ἑλλήνων φησὶ πρεσβείας.
but to-have-been-present the from the Greeks says embassies
παρελθὼν τοίνυν, Δημόσθενες, ἐπὶ τὸ βῆμα τοῦτο ἐν τῷ 59
having-come-up then Demosthenes on the platform this in the
ἐμῷ λόγῳ, εἰπὲ πόλεως ἥστινος βούλει τῶν Ἑλληνίδων
my speech name of-a-city whichever you-wish of-the Greek
τοὔνομα ἐξ ἧς ἀφῖχθαι τότε φῂς τοὺς πρέσβεις·
the-name from which to-have-come then you-say the envoys
καὶ τὰ προβουλεύματα αὐτῶν ἐκ τοῦ βουλευτηρίου
and the preliminary-decrees on-them from the council-house
δὸς ἀναγνῶναι, καὶ τοὺς Ἀθηναίων κάλει πρέσβεις, οὓς
give to-read and the of-Athenians call envoys whom
ἐξέπεμψαν ἐπὶ τὰς πόλεις, μάρτυρας. κἂν παρεῖναι
they-sent to the cities as-witnesses and-if to-be-present
καὶ μὴ ἀποδημεῖν, ὅτε ἡ πόλις τὴν εἰρήνην ἐποιεῖτο,
and not to-be-abroad when the city the peace was-making
μαρτυρήσωσιν, ἢ τὰς πρὸς τὴν βουλὴν αὐτῶν προσόδους
they-testify or the before the council their hearings
καὶ τὰ ψηφίσματα ἂν παράσχῃ ἐν ᾧ σὺ φῂς ὄντα
and the decrees if you-produce in which you say being
χρόνῳ, καταβαίνω καὶ θανάτου τιμῶμαι.
in-the-time I-step-down and death I-propose-as-my-penalty

60 ἀνάγνωθι δὴ καὶ τὸ τῶν συμμάχων δόγμα τί λέγει,
read indeed also the of-the allies resolution what it-says
ἐν ᾧ διαρρήδην γέγραπται, ἐπειδὴ βουλεύεται ὁ δῆμος
in which expressly it-is-written since deliberates the people
ὁ Ἀθηναίων ὑπὲρ εἰρήνης πρὸς Φίλιππον, οἱ δὲ πρέσβεις
the of-Athenians about peace with Philip the and envoys
οὔπω πάρεισιν, οὓς ἐξέπεμψεν ὁ δῆμος εἰς τὴν Ἑλλάδα
not-yet are-present whom sent the people into — Greece
παρακαλῶν τὰς πόλεις ὑπὲρ τῆς ἐλευθερίας τῶν Ἑλλήνων,
summoning the cities for the freedom of-the Greeks
δεδόχθαι τοῖς συμμάχοις, ἐπειδὰν ἐπιδημήσωσιν οἱ
to-have-been-resolved by-the allies when have-come-home the
πρέσβεις καὶ τὰς πρεσβείας ἀπαγγείλωσιν Ἀθηναίοις καὶ
envoys and the embassies have-reported to-Athenians and
τοῖς συμμάχοις, προγράψαι τοὺς πρυτάνεις ἐκκλησίας δύο
to-the allies to-give-notice-of the prytanes assemblies two
κατὰ τὸν νόμον, ἐν δὲ ταύταις βουλεύσασθαι περὶ τῆς
according-to the law in and these to-deliberate about the
εἰρήνης Ἀθηναίους· ὅ τι δ' ἂν ψηφίσηται ὁ δῆμος,
peace Athenians that which and — votes the people
τοῦτ' εἶναι κοινὸν δόγμα τῶν συμμάχων. ἀνάγνωθι δή
this to-be common resolution of-the allies read indeed
μοι τὸ τῶν συνέδρων δόγμα.
for-me the of-the delegates resolution

61 παρανάγνωθι δή μοι καὶ τὸ Δημοσθένους ψήφισμα, ἐν ᾧ
read-alongside indeed for-me also the of-Demosthenes decree in which
κελεύει τοὺς πρυτάνεις μετὰ τὰ Διονύσια τὰ ἐν ἄστει καὶ
he-bids the prytanes after the Dionysia the in town and
τὴν ἐν Διονύσου ἐκκλησίαν προγράψαι δύο ἐκκλησίας, τὴν
the in Dionysus's assembly to-give-notice-of two assemblies the-one
μὲν τῇ ὀγδόῃ ἐπὶ δέκα, τὴν δὲ τῇ ἐνάτῃ, ὁρίζων τὸν
indeed on-the eighth on ten the-other and on-the ninth fixing the

χρόνον καὶ προϋφαιρῶν τὰς ἐκκλησίας, πρὶν ἐπιδημῆσαι
time and stealing-beforehand the assemblies before to-have-come-home
τοὺς ἀπὸ τῶν Ἑλλήνων πρέσβεις. καὶ τὸ μὲν τῶν
the-ones from the Greeks envoys and the indeed of-the
συμμάχων δόγμα κελεύει, ᾧ συνειπεῖν καὶ ἐγὼ ὁμολογῶ,
allies resolution bids which to-have-supported also I admit
ὑπὲρ εἰρήνης μόνον ὑμᾶς βουλεύσασθαι, Δημοσθένης δὲ
about peace only you to-deliberate Demosthenes but
καὶ περὶ συμμαχίας κελεύει. λέγε αὐτοῖς τὸ ψήφισμα.
also about alliance bids read to-them the decree
τῶν μὲν ψηφισμάτων ἀμφοτέρων ἀκηκόατε, ὑφ' ὧν 62
the indeed decrees both you-have-heard by which
ἐξελέγχεται Δημοσθένης τὰς ἀποδημούσας πρεσβείας
is-convicted Demosthenes the absent embassies
ἐπιδημεῖν φάσκων, καὶ βουλομένων ὑμῶν ἀκροάσασθαι,
to-be-present claiming and wishing you to-hear
τὸ τῶν συμμάχων ἄκυρον πεποιηκὼς δόγμα. οἱ μὲν
the of-the allies void having-made resolution they indeed
γὰρ ἀπεφήναντο ἀναμεῖναι τὰς Ἑλληνικὰς πρεσβείας,
for declared to-await the Greek embassies
Δημοσθένης δὲ οὐ λόγῳ μόνον κεκώλυκε περιμεῖναι, ὁ
Demosthenes but not by-word only has-prevented to-wait the-one
πάντων αἴσχιστα καὶ τάχιστα μετατιθέμενος, ἀλλ' ἔργῳ
of-all most-shamefully and most-quickly changing but in-fact
καὶ ψηφίσματι, προστάξας ἤδη βεβουλεῦσθαι.
and by-decree having-ordered at-once to-have-deliberated
εἴρηκε δὲ ὡς ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγορήσαντος 63
he-has-said and that in the first of-the assemblies having-spoken
Φιλοκράτους, ὕστερον ἀναβὰς ἐγὼ κατεμεμψάμην ἣν
Philocrates later having-come-up I censured which
εἰσηγεῖτο ἐκεῖνος εἰρήνην, αἰσχρὰν καὶ τῆς πόλεως ἀναξίαν
proposed he peace shameful and of-the city unworthy

εἶναι φάσκων, τῇ δ' ὑστεραίᾳ πάλιν ὡς συναγορεύοιμι
to-be declaring on-the but next-day again that I-supported
τῷ Φιλοκράτει, καὶ τὴν ἐκκλησίαν εὐημερήσας οἰχοίμην
— Philocrates and the assembly having-won-the-day I-went-off
φέρων, πείθων ὑμᾶς μὴ προσέχειν τοῖς τὰς μάχας καὶ τὰ
carrying persuading you not to-attend to-the-ones the battles and the
τῶν προγόνων λέγουσι τρόπαια, μηδὲ τοῖς Ἕλλησι βοηθεῖν.
of-the ancestors telling trophies nor the Greeks to-help
64 ὅτι δ' οὐ ψευδῆ μόνον κατηγόρηκεν, ἀλλὰ καὶ ἀδύνατα
that and not false-things only he-has-charged but also impossible
γενέσθαι, μίαν μὲν αὐτὸς καθ' αὑτοῦ μαρτυρίαν
to-have-happened one indeed himself against himself testimony
μαρτυρήσει, ἑτέραν δὲ πάντες Ἀθηναῖοι καὶ ὑμεῖς
will-give another and all Athenians and you
ἀναμιμνῃσκόμενοι, τρίτην δὲ ἡ τῆς αἰτίας ἀπιθανότης,
remembering a-third and the of-the charge implausibility
τετάρτην δὲ ἀνὴρ ἀξιόλογος, εἷς τῶν πολιτευομένων,
a-fourth and a-man notable one of-the politicians
Ἀμύντωρ, ᾧ ψήφισμα ἐπεδείξατο Δημοσθένης καὶ
Amyntor to-whom a-decree showed Demosthenes and
ἀνεκοινοῦτο, εἰ δῷ τῷ γραμματεῖ, οὐχ
consulted whether he-should-give-it to-the clerk not
ὑπεναντία, ἀλλὰ ταὐτὰ γεγραφὼς Φιλοκράτει.
contrary but the-same-things having-proposed as-Philocrates
65 καί μοι λαβὲ τὸ ψήφισμα καὶ ἀνάγνωθι τὸ Δημοσθένους,
and for-me take the decree and read the of-Demosthenes
ἐν ᾧ φαίνεται γεγραφώς, τῇ μὲν προτέρᾳ τῶν
in which he-appears having-proposed on-the indeed first of-the
ἐκκλησιῶν συμβουλεύειν τὸν βουλόμενον, τῇ δ' ὑστέρᾳ
assemblies to-advise the-one wishing on-the and second

τοὺς προέδρους ἐπιψηφίζειν τὰς γνώμας, λόγον δὲ μὴ
the presidents to-put-to-the-vote the motions speech and not
προτιθέναι, ἐν ᾗ μέ φησιν αὐτὸς Φιλοκράτει συνειπεῖν.
to-allow in which me says he Philocrates to-have-supported
οὐκοῦν τὰ μὲν ψηφίσματα, ὡς ἐξ ἀρχῆς ἐγράφη, μένει, 66
therefore the indeed decrees as from the-start they-were-written remain
οἱ δὲ τῶν συκοφαντῶν λόγοι πρὸς τοὺς ἐφ' ἡμέραν καιροὺς
the but of-the blackmailers words for the for the-day occasions
λέγονται. ποιεῖ δέ μου τὴν δημηγορίαν ὁ μὲν κατήγορος
are-spoken makes and my the speech the indeed accuser
διαιρετήν, τὸ ψήφισμα δὲ καὶ τἀληθὲς μίαν· λόγον γὰρ
divided the decree but and the-truth one speech for
μὴ προτιθέντων εἰς τὴν ὑστέραν ἐκκλησίαν τῶν προέδρων,
not allowing for the second assembly the presidents
οὐκ εἰπεῖν. τί δ' ἂν καὶ βουλόμενος, εἴπερ ταὐτὰ
not to-speak why and — even wishing if-indeed the-same-things
Φιλοκράτει προειλόμην, κατηγόρουν μὲν πρὸς τοὺς αὐτοὺς
as-Philocrates I-chose would-I-accuse indeed before the same
ἀκροατὰς τῇ προτεραίᾳ, μίαν δὲ νύκτα διαλιπὼν
hearers on-the day-before one and night having-let-pass
συνηγόρουν; πότερα ὡς αὐτὸς εὐδοξήσων, ἢ ὡς ἐκεῖνον
would-I-support whether as myself going-to-win-repute or as him
ὠφελήσων; ἀλλ' οὐκ ἐνῆν οὐδέτερα ἐξενέγκασθαι, ἀλλ'
going-to-help but not it-was-possible either to-carry-off but
ὑπὸ πάντων μὲν μισεῖσθαι, περαίνειν δὲ μηδέν.
by all indeed to-be-hated to-accomplish and nothing
κάλει δέ μοι καὶ Ἀμύντορα Ἐρχιέα, καὶ τὴν μαρτυρίαν 67
call and for-me also Amyntor of-Erchia and the testimony
ἀνάγνωθι. ὃν δὲ τρόπον γέγραπται, προδιελθεῖν ὑμῖν
read in-what and way it-is-written to-go-through-first for-you
βούλομαι. μαρτυρεῖ Ἀμύντωρ Αἰσχίνῃ, ὅτε ἐβουλεύετο
I-wish testifies Amyntor for-Aeschines that-when was-deliberating

ὁ δῆμος περὶ τῆς συμμαχίας τῆς πρὸς Φίλιππον κατὰ
the people about the alliance the with Philip according-to
τὸ Δημοσθένους ψήφισμα, ἐν τῇ ὑστέρᾳ τῶν δυοῖν
the of-Demosthenes decree in the second of-the two
ἐκκλησιῶν, ὅτε οὐκ ἐξῆν δημηγορεῖν, ἀλλὰ τὰ περὶ
assemblies when not it-was-allowed to-speak but the about
τῆς εἰρήνης καὶ συμμαχίας ψηφίσματα ἐπεψηφίζετο,
the peace and alliance decrees were-being-put-to-the-vote
68 ἐν ταύτῃ τῇ ἐκκλησίᾳ Δημοσθένην ἐπιδείξασθαι
in this the assembly Demosthenes to-have-shown
παρακαθήμενον ψήφισμα ἑαυτῷ, ἐφ᾽ ᾧ ἐπεγέγραπτο
sitting-beside a-decree to-him on which had-been-written
τὸ Δημοσθένους ὄνομα, καὶ ἀνακοινοῦσθαι αὐτὸν αὑτῷ,
the of-Demosthenes name and to-have-consulted him with-him
εἰ δῷ τοῖς προέδροις ἐπιψηφίσαι, καὶ εἶναι, ἐφ᾽
whether he-should-give-it to-the presidents to-put-to-the-vote and to-be on
οἷς τὴν εἰρήνην καὶ τὴν συμμαχίαν ἔγραψε ποιεῖσθαι,
what-terms the peace and the alliance he-proposed to-make
ἐπὶ τοῖς αὐτοῖς ἐφ᾽ οἷσπερ καὶ Φιλοκράτης ἐγεγράφει.
on the same on which-very also Philocrates had-proposed
κάλει δέ μοι Ἀμύντορα Ἐρχιέα, καὶ ἐκκλήτευε, ἐὰν
call and for-me Amyntor of-Erchia and summon-by-default if
μὴ θέλῃ δευρὶ παρεῖναι.
not he-is-willing here to-be-present

Aeschines stands by his speech on the peace and reminds the jurors of the times. In the war over Amphipolis the general lost seventy-five allied cities and a hundred and fifty triremes. He spent fifteen hundred talents on his commanders and hirelings, and the city's name became one with the pirates of Myonnesus. Philip threatened Lemnos, Imbros, Scyros, and the Chersonese, and Cephisophon had to move a decree sending out to find the general. The other orators bade the people remember Salamis and the trophies. Aeschines bade them imitate the ancestors' good counsels and avoid their errors: the Sicilian expedition and the refusal of peace that ended in the Thirty. His father Atrometus helped restore the democracy. He roused Arcadia against Philip in the war, and when no one helped he advised peace, for envoys should be judged by their moment.

τῆς μὲν μαρτυρίας ἀκηκόατε, ὦ ἄνδρες Ἀθηναῖοι· σκοπεῖτε 69
the indeed testimony you-have-heard O men Athenians consider
δὴ πότερα ὑμῖν δοκεῖ Δημοσθένης ἐμοῦ κατηγορηκέναι, ἢ
indeed whether to-you seems Demosthenes me to-have-accused or
τοὐναντίον αὐτὸς αὑτοῦ ἐπὶ τῷ ἐμῷ ὀνόματι. ἐπειδὴ δὲ
conversely himself himself under the my name since and
καὶ τὴν δημηγορίαν μου διαβάλλει, καὶ τοὺς εἰρημένους
also the speech my he-misrepresents and the spoken
λόγους ἐπὶ τὰ χείρω διεξέρχεται, οὔτ' ἂν ἀποδραίην,
words toward the worse recounts neither — I-would-run-away
οὔτ' ἂν τῶν τότ' εἰρημένων οὐδὲν ἀρνησαίμην, οὔτ'
nor — of-the then said-things anything I-would-deny nor
αἰσχύνομαι ἐπ' αὐτοῖς, ἀλλὰ καὶ φιλοτιμοῦμαι.
I-am-ashamed of them but even I-take-pride
βούλομαι δ' ὑμᾶς καὶ τοὺς καιροὺς ὑπομνῆσαι, ἐν 70
I-wish and you also the times to-remind in
οἷς ἐβουλεύεσθε. τὴν μὲν γὰρ ἀρχὴν ἐποιησάμεθα τοῦ
which you-deliberated the indeed for beginning we-made of-the

πολέμου ὑπὲρ Ἀμφιπόλεως, συνέβαινε δ' ἡμῶν τὸν
war over Amphipolis it-happened and our the
στρατηγὸν ἐν τῷ πολέμῳ ἑβδομήκοντα μὲν καὶ πέντε
general in the war seventy indeed and five
πόλεις συμμαχίδας ἀποβεβληκέναι, ἃς ἐκτήσατο Τιμόθεος
cities allied to-have-lost which acquired Timotheus
ὁ Κόνωνος καὶ κατέστησεν εἰς τὸ συνέδριον· (προῄρημαι
the of-Conon and brought into the council I-have-chosen
γὰρ παρρησιάσασθαι, καὶ ἐλευθέρως ἅμα καὶ τἀληθῆ
for to-speak-frankly and freely together and the-truth
εἰπὼν σῴζεσθαι· ἐὰν δὲ ἄλλως πως γιγνώσκητε,
having-spoken to-be-saved if but otherwise somehow you-judge
καταχρήσασθέ μοι· οὐ γὰρ ἂν ὑποστειλαίμην·)
deal-with me not for — I-would-shrink
71 ἑκατὸν δὲ καὶ πεντήκοντα τριήρεις λαβόντα ἐκ τῶν
hundred and also fifty triremes having-taken from the
νεωρίων μὴ κατακεκομικέναι, καὶ ταῦτα ὑμῖν ἐν τοῖς
dockyards not to-have-brought-back and these-things to-you in the
ἀγῶσιν ἀεὶ τοῖς Χάρητος οἱ κατήγοροι δεικνύουσι, χίλια
trials always the of-Chares the accusers show thousand
δὲ καὶ πεντακόσια τάλαντα οὐκ εἰς στρατιώτας, ἀλλ'
and also five-hundred talents not on soldiers but
εἰς ἡγεμόνων ἀλαζονείας ἀνηλωκέναι, Δηιάρην τε καὶ
on of-commanders pretensions to-have-spent Deiares both and
Δηίπυρον καὶ Πολυφόντην, δραπέτας ἀνθρώπους ἐκ τῆς
Deipyrus and Polyphontes runaway men from —
Ἑλλάδος συνειλεγμένους, καὶ χωρὶς εἰς τοὺς περὶ τὸ
Greece gathered and besides on the-ones around the
βῆμα καὶ τὴν ἐκκλησίαν μισθοφόρους, οἳ τοὺς μὲν
platform and the assembly hirelings who the indeed
ταλαιπώρους νησιώτας καθ' ἕκαστον ἐνιαυτὸν ἑξήκοντα
wretched islanders by each year sixty

τάλαντα εἰσέπραττον σύνταξιν, κατῆγον δὲ τὰ πλοῖα
talents exacted as-contribution brought-into-port and the ships
καὶ τοὺς Ἕλληνας ἐκ τῆς κοινῆς θαλάττης.
and the Greeks from the common sea
ἀντὶ δὲ ἀξιώματος καὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας, ἡ 72
instead-of and dignity and the of-the Greeks leadership the
πόλις ἡμῶν τῆς Μυοννήσου καὶ τῆς τῶν λῃστῶν δόξης
city of-us — of-Myonnesus and the of-the pirates reputation
ἀνεπίμπλατο· Φίλιππος δὲ ὁρμηθεὶς ἐκ Μακεδονίας, οὐκέθ᾽
was-filled Philip and having-set-out from Macedonia no-longer
ὑπὲρ Ἀμφιπόλεως πρὸς ἡμᾶς ἠγωνίζετο, ἀλλ᾽ ἤδη περὶ
over Amphipolis against us was-contending but now over
Λήμνου καὶ Ἴμβρου καὶ Σκύρου, τῶν ἡμετέρων κτημάτων·
Lemnos and Imbros and Scyros the our possessions
ἐξέλειπον δὲ Χερρόνησον ἡμῶν οἱ πολῖται, τὴν
were-abandoning and Chersonese our the citizens the-one
οὖσαν ὁμολογουμένως Ἀθηναίων· πλείους δὲ ἐκκλησίας
being admittedly of-Athenians more and assemblies
συγκλήτους ἠναγκάζεσθε ἐκκλησιάζειν μετὰ φόβου καὶ
extraordinary you-were-forced to-hold with fear and
θορύβου, ἢ τὰς τεταγμένας ἐκ τῶν νόμων·
tumult than the regular from the laws
οὕτω δ᾽ ἦν σφαλερὰ καὶ ἐπικίνδυνα τὰ πράγματα, ὥστε 73
so and were precarious and dangerous the affairs that
ἠναγκάσθη γράψαι ψήφισμα Κηφισοφῶν ὁ Παιανιεύς, εἷς
was-compelled to-propose a-decree Cephisophon the Paeanian one
τῶν φίλων καὶ ἑταίρων τῶν Χάρητος, ἐκπλεῖν τὴν ταχίστην
of-the friends and comrades the of-Chares to-sail-out the quickest-way
Ἀντίοχον τὸν ἐπὶ τῶν ὑπηρετικῶν, καὶ ζητεῖν τὸν στρατηγὸν
Antiochus the-one over the dispatch-boats and to-seek the general
τὸν ἐπὶ τῇ δυνάμει τεταγμένον, κἂν ἐντύχῃ που,
the-one over the force appointed and-if he-meets-him somewhere

φράζειν ὅτι θαυμάζει ὁ δῆμος ὁ Ἀθηναίων, εἰ Φίλιππος
to-tell that wonders the people the of-Athenians if Philip
μὲν ἐπὶ Χερρόνησον τὴν Ἀθηναίων πορεύεται, Ἀθηναῖοι δὲ
indeed against Chersonese the of-Athenians marches Athenians but
οὐδὲ τὸν στρατηγὸν ἴσασιν οὐδὲ τὴν δύναμιν ἣν ἐξέπεμψαν,
not-even the general know nor the force which they-sent
ὅπου ἐστίν. ὅτι δ' ἀληθῆ λέγω, ἀκούσατε τοῦ ψηφίσματος,
where it-is that and true-things I-say hear the decree
καὶ ἀναμνήσθητε τοῦ πολέμου, καὶ τὴν εἰρήνην τοὺς τῶν
and recall the war and the peace the of-the
ὅπλων ἡγεμόνας, ἀλλὰ μὴ τοὺς πρέσβεις, ἀπαιτεῖτε.
arms commanders but not the envoys demand
74 οἱ μὲν καιροὶ τῆς πόλεως τοιοῦτοι, ἐν οἷς οἱ περὶ τῆς
the indeed times of-the city such in which the about the
εἰρήνης ἐγίγνοντο λόγοι· ἀνιστάμενοι δὲ οἱ συντεταγμένοι
peace took-place speeches rising and the in-league
ῥήτορες, περὶ μὲν τῆς σωτηρίας τῆς πόλεως οὐδ'
orators about indeed the safety of-the city not-even
ἐνεχείρουν λέγειν, ἀποβλέπειν δὲ εἰς τὰ προπύλαια τῆς
tried to-speak to-look but at the gateway of-the
ἀκροπόλεως ἐκέλευον ὑμᾶς, καὶ τῆς ἐν Σαλαμῖνι ναυμαχίας
acropolis they-bade you and the at Salamis sea-fight
μεμνῆσθαι, καὶ τῶν τάφων τῶν προγόνων καὶ τῶν τροπαίων.
to-remember and the tombs of-the ancestors and the trophies
75 ἐγὼ δὲ ἁπάντων μὲν τούτων ἔφην δεῖν μεμνῆσθαι,
I but all indeed these said to-be-necessary to-remember
μιμεῖσθαι μέντοι τὰς τῶν προγόνων εὐβουλίας, τὰ
to-imitate however the of-the ancestors good-counsels the
δὲ ἁμαρτήματα αὐτῶν καὶ τὴν ἄκαιρον φιλονικίαν
but errors of-them and the untimely contentiousness
φυλάττεσθαι, τὴν μὲν ἐν Πλαταιαῖς πεζομαχίαν, καὶ τοὺς
to-guard-against the indeed at Plataea land-battle and the

ἀγῶνας τοὺς περὶ Σαλαμῖνα, καὶ τὴν ἐν Μαραθῶνι μάχην,
struggles the around Salamis and the at Marathon battle
καὶ τὴν ἐπ᾽ Ἀρτεμισίῳ ναυμαχίαν, καὶ τὴν Τολμίδου ζηλοῦν
and the off Artemisium sea-fight and the of-Tolmides to-emulate
στρατηγίαν κελεύων, ὃς χιλίους ἔχων ἐπιλέκτους Ἀθηναίων,
generalship urging who thousand having picked of-Athenians
διὰ μέσης Πελοποννήσου πολεμίας οὔσης ἀδεῶς διεξῄει.
through middle Peloponnese hostile being fearlessly passed
τὴν δ᾽ εἰς Σικελίαν στρατείαν φυλάττεσθαι, ἣν ἐξέπεμψαν 76
the and to Sicily expedition to-guard-against which they-sent
Λεοντίνοις βοηθήσοντες, τῶν πολεμίων ἐμβεβληκότων εἰς
for-Leontines going-to-help the enemies having-invaded into
τὴν χώραν ἡμῶν καὶ Δεκελείας ἐπιτετειχισμένης, καὶ
the land our and Decelea having-been-fortified and
τὴν τελευταίαν ἀβουλίαν, ὅθ᾽ ἡττημένοι τῷ πολέμῳ,
the final folly when defeated in-the war
προκαλουμένων αὐτοὺς Λακεδαιμονίων εἰρήνην ἄγειν
inviting them Lacedaemonians peace to-keep
ἔχοντας πρὸς τῇ Ἀττικῇ Λῆμνον καὶ Ἴμβρον καὶ Σκῦρον
holding besides — Attica Lemnos and Imbros and Scyros
καὶ δημοκρατουμένους κατὰ τοὺς νόμους, τούτων μὲν
and living-in-democracy according-to the laws of-these indeed
οὐδὲν ἤθελον ποιεῖν, πολεμεῖν δὲ προῃροῦντο οὐ
nothing they-were-willing to-do to-make-war but they-chose not
δυνάμενοι, Κλεοφῶν δὲ ὁ λυροποιός, ὃν πολλοὶ δεδεμένον
being-able Cleophon and the lyre-maker whom many bound
ἐν πέδαις ἐμνημόνευον, παρεγγραφεὶς αἰσχρῶς πολίτης καὶ
in fetters remembered enrolled-fraudulently shamefully citizen and
διεφθαρκὼς νομῇ χρημάτων τὸν δῆμον, ἀπολόψειν
having-corrupted by-distribution of-money the people to-be-going-to-cut
ἠπείλει μαχαίρᾳ τὸν τράχηλον, εἴ τις εἰρήνης μνησθήσεται·
threatened with-a-knife the neck if anyone peace will-mention

77 τελευτῶντες δὲ εἰς τοῦτο τὴν πόλιν προήγαγον, ὥστε
finally and to this the city they-brought that
ἀγαπητῶς τὴν εἰρήνην ποιήσασθαι, ἀποστάντας πάντων
contentedly the peace to-make having-given-up all
καὶ τὰ τείχη καθελόντας, καὶ παραδεξαμένους φρουρὰν
and the walls having-pulled-down and having-received a-garrison
καὶ Λακεδαιμόνιον ἁρμοστήν, καὶ τῆς δημοκρατίας τοῖς
and a-Lacedaemonian governor and the democracy to-the
τριάκοντα ἀφεμένους, οἳ χιλίους καὶ πεντακοσίους τῶν
thirty having-surrendered who thousand and five-hundred of-the
πολιτῶν ἀκρίτους ἀπέκτειναν. τὴν μὲν τοιαύτην ἀβουλίαν
citizens untried killed the indeed such folly
ὁμολογῶ παραγγέλλειν φυλάττεσθαι, τὰ δ' ὀλίγῳ
I-admit to-urge to-guard-against the-things but a-little
πρότερον εἰρημένα μιμεῖσθαι. οὐ γὰρ παρὰ τῶν ἀλλοτρίων,
earlier mentioned to-imitate not for from the strangers
ἀλλὰ παρὰ τοῦ πάντων οἰκειοτάτου ταῦτα ἐπυνθανόμην.
but from the of-all closest-kin these-things I-learned
78 Ἀτρόμητος γὰρ ὁ πατὴρ ὁ ἡμέτερος, ὃν σὺ λοιδορεῖς οὔτ'
Atrometus for the father the our whom you revile neither
εἰδὼς οὔτ' ἐπιδὼν τῆς ἑαυτοῦ ἡλικίας ὅστις ἦν, καὶ ταῦτα,
knowing nor having-seen at-the his-own age who he-was and that
ὦ Δημόσθενες, ἐκ τῶν νομάδων Σκυθῶν τὸ πρὸς μητρὸς
O Demosthenes from the nomad Scythians the on mother's
ὢν γένος, ἔφυγε μὲν ἐπὶ τῶν τριάκοντα, συγκατήγαγε δὲ
being descent fled indeed under the thirty helped-restore and
τὸν δῆμον· καὶ ὁ τῆς μητρὸς τῆς ἡμετέρας ἀδελφός, θεῖος
the democracy and the of-the mother the our brother uncle
δὲ ἡμέτερος, Κλεόβουλος ὁ Γλαύκου τοῦ Ἀχαρνέως υἱός,
and our Cleobulus the of-Glaucus the Acharnian son
μετὰ Δημαινέτου τοῦ Βουζύγου συγκατεναυμάχησε Χείλωνα
with Demaenetus the Buzygid helped-defeat-at-sea Chilon

τὸν Λακεδαιμονίων ναύαρχον· ὥστε οἰκεῖά μοι καὶ συνήθη
the of-Lacedaemonians admiral so-that familiar to-me and customary
τὰ τῆς πόλεως ἀτυχήματα εἶναι τοῖς ὠσὶν ἀκούειν.
the of-the city misfortunes to-be with-the ears to-hear
ἐπιτιμᾷς δέ μοι καὶ τὴν ἐν τοῖς μυρίοις ἐν Ἀρκαδίᾳ 79
you-reproach and me also the among the ten-thousand in Arcadia
δημηγορίαν καὶ πρεσβείαν, καὶ μεταβεβλῆσθαί με φής,
speech and embassy and to-have-changed-sides me you-say
αὐτὸς ὢν ἀνδραποδώδης καὶ μόνον οὐκ ἐστιγμένος
yourself being slavish and only not branded
αὐτόμολος. ἐγὼ δ' ἐν μὲν τῷ πολέμῳ συνίστην, καθ'
a-deserter I but in indeed the war was-uniting in
ὅσον ἦν δυνατός, Ἀρκάδας καὶ τοὺς ἄλλους Ἕλληνας
as-much-as I-was able Arcadians and the other Greeks
ἐπὶ Φίλιππον· οὐδενὸς δ' ἀνθρώπων ἐπικουροῦντος τῇ
against Philip no-one but of-men helping the
πόλει, ἀλλὰ τῶν μὲν περιορώντων ὅ τι συμβήσεται,
city but the-ones indeed watching that which will-happen
τῶν δὲ συνεπιστρατευόντων, τῶν δ' ἐν τῇ πόλει
the-others and joining-the-campaign the-ones and in the city
ῥητόρων χορηγὸν ταῖς καθ' ἡμέραν δαπάναις τὸν πόλεμον
orators paymaster for-the by day expenses the war
ποιουμένων, ὁμολογῶ συμβουλεῦσαι τῷ δήμῳ διαλύσασθαι
making I-admit to-have-advised the people to-come-to-terms
πρὸς Φίλιππον καὶ τὴν εἰρήνην συνθέσθαι, ἣν σὺ νομίζεις
with Philip and the peace to-conclude which you consider
νῦν αἰσχράν, ὁ οὐδὲ πώποθ' ἁψάμενος ὅπλων, ἐγὼ
now shameful the-one not-even ever having-touched arms I
δὲ ταύτην εἶναι πολλῷ φημι καλλίω τοῦ πολέμου.
but this to-be by-much say finer than-the war

80 χρὴ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς μὲν πρέσβεις
one-must and O men Athenians the indeed envoys
θεωρεῖν πρὸς τὸν καιρὸν καθ' ὃν ἐπρέσβευον, τοὺς δὲ
to-view in-light-of the occasion at which they-were-envoys the and
στρατηγοὺς πρὸς τὰς δυνάμεις ὧν ἡγοῦντο. καὶ γὰρ τὰς
generals in-light-of the forces which they-led and for the
εἰκόνας ἵστατε, καὶ τὰς προεδρίας καὶ τοὺς στεφάνους καὶ
statues you-set-up and the front-seats and the crowns and
τὰς ἐν πρυτανείῳ σιτήσεις δίδοτε, οὐ τοῖς τὴν εἰρήνην
the in prytaneum meals you-give not to-the-ones the peace
ἀπαγγείλασιν, ἀλλὰ τοῖς τὴν μάχην νικήσασιν. εἰ δ'
having-reported but to-the-ones the battle having-won if and
ἔσονται τῶν πολέμων αἱ μὲν εὔθυναι τῶν πρέσβεων, αἱ
will-be of-the wars the indeed audits of-the envoys the
δὲ δωρεαὶ τῶν στρατηγῶν, ἀσπόνδους καὶ ἀκηρύκτους
and rewards of-the generals truceless and herald-less
τοὺς πολέμους ποιήσετε· οὐδεὶς γὰρ ἐθελήσει πρεσβεύειν.
the wars you-will-make no-one for will-be-willing to-be-envoy

Aeschines answers the charges about Cersobleptes. In an assembly where Demosthenes presided, Critobulus of Lampsacus asked to give Cersobleptes' oath and enroll him among the allies. Demosthenes refused to put Aleximachus' decree to the vote until the people shouted him down. Chares' letter shows that Cersobleptes had lost his kingdom before the envoys left, so their delay at Oreus could not have ruined him. Aeschines does not decline the third embassy on oath, which the law forbids. He sends his brother, his nephew, and his physician to report his illness, and he serves when the envoys turn back after the Phocians' fall.

περὶ δὲ Κερσοβλέπτου καὶ Φωκέων καὶ τῶν ἄλλων ἃ 81
about and Cersobleptes and Phocians and the other-things which
πρὸς τούτοις διαβέβλημαι, ὑπόλοιπον εἰπεῖν. ἐγὼ γὰρ,
besides these I-have-been-slandered it-remains to-speak I for
ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐν τῇ προτέρᾳ καὶ ἐν τῇ ὑστέρᾳ
O men Athenians both on the first and on the second
πρεσβείᾳ, ἃ μὲν εἶδον, ὡς εἶδον, ὑμῖν ἀπήγγελλον, ἃ
embassy what indeed I-saw as I-saw to-you I-reported what
δ' ἤκουσα, ὡς ἤκουσα. τίνα οὖν ἦν ἑκάτερα τούτων,
and I-heard as I-heard what then were each of-these
ἅ τε εἶδον ἅ τε ἤκουσα περὶ Κερσοβλέπτου; εἶδον
which both I-saw which and I-heard about Cersobleptes saw
μὲν ἐγὼ καὶ οἱ συμπρέσβεις ἅπαντες ὁμηρεύοντα τὸν
indeed I and the fellow-envoys all as-hostage the
υἱὸν τὸν Κερσοβλέπτου παρὰ Φιλίππῳ· καὶ ἔτι καὶ νῦν
son the of-Cersobleptes with Philip and still even now
τοῦθ' οὕτως ἔχει.
this so is
συνέβαινε δέ, ὅτε τὴν προτέραν ἐπρεσβεύομεν πρεσβείαν, 82
it-happened and when the first we-went-on embassy
ἐμοὶ μὲν μετὰ τῶν συμπρέσβεων ἀπιέναι δεῦρο, Φιλίππῳ
for-me indeed with the fellow-envoys to-depart here for-Philip

δ' ἐπὶ Θράκην ἐξιέναι, πρὸς δ' ἡμᾶς ὡμολογηκέναι, ἕως
and against Thrace to-march-out to and us to-have-agreed until
ἂν ὑμεῖς περὶ τῆς εἰρήνης βουλεύσησθε, μὴ ἐπιβήσεσθαι
— you about the peace deliberate not to-be-going-to-set-foot-on
μεθ' ὅπλων Χερρονήσου. ἐν ἐκείνῃ μὲν οὖν τῇ ἡμέρᾳ
with arms Chersonese on that indeed then the day
ᾗ ὑμεῖς ἐψηφίσασθε τὴν εἰρήνην, οὐδεμία μνεία ἐγένετο
on-which you voted the peace no mention was-made
περὶ Κερσοβλέπτου· ἤδη δὲ ἡμῶν κεχειροτονημένων
about Cersobleptes already but us elected
ἐπὶ τοὺς ὅρκους, οὔπω δὲ ἀπηρκότων ἐπὶ τὴν ὑστέραν
for the oaths not-yet but having-set-out on the second
πρεσβείαν, ἐκκλησία γίγνεται, ἐν ᾗ Δημοσθένης ὁ
embassy an-assembly is-held in which Demosthenes the-one
νυνὶ κατηγορῶν ἐμοῦ λαγχάνει προεδρεύειν.
now accusing me draws-the-lot to-preside

83 ἐν δὲ ταύτῃ τῇ ἐκκλησίᾳ Κριτόβουλος ὁ Λαμψακηνὸς
in and this the assembly Critobulus the Lampsacene
εἶπε παρελθών, ὅτι πέμψειε μὲν αὐτὸν Κερσοβλέπτης,
said having-come-forward that had-sent indeed him Cersobleptes
ἀξιοίη δὲ ἀποδοῦναι τοὺς ὅρκους τοῖς Φιλίππου πρέσβεσι,
he-asked and to-give the oaths to-the of-Philip envoys
καὶ συναναγραφῆναι Κερσοβλέπτην ἐν τοῖς ὑμετέροις
and to-be-registered-with Cersobleptes among the your
συμμάχοις. ῥηθέντων δὲ τῶν λόγων τούτων, Ἀλεξίμαχος
allies having-been-spoken and the words these Aleximachus
ὁ Πήληξ δίδωσιν ἀναγνῶναι ψήφισμα τοῖς προέδροις,
the Pelecan gives to-read a-decree to-the presidents
ἐν ᾧ ἐγέγραπτο ἀποδοῦναι τοὺς ὅρκους Φιλίππῳ μετὰ
in which had-been-written to-give the oaths to-Philip with
τῶν ἄλλων συμμάχων τὸν ἥκοντα παρὰ Κερσοβλέπτου.
the other allies the-one having-come from Cersobleptes

ἀναγνωσθέντος δὲ τοῦ ψηφίσματος, καὶ ταῦτα οἶμαι πάντας 84
having-been-read and the decree and these-things I-think all
ὑμᾶς μνημονεύειν, ἀναστὰς ἐκ τῶν προέδρων Δημοσθένης
you to-remember having-stood-up from the presidents Demosthenes
οὐκ ἔφη τὸ ψήφισμα ἐπιψηφιεῖν, οὐδὲ λύσειν
not he-said the decree to-be-going-to-put-to-vote nor to-be-going-to-break
τὴν πρὸς Φίλιππον εἰρήνην, οὐδὲ γιγνώσκειν τῶν συμμάχων
the with Philip peace nor to-recognize of-the allies
τοὺς ὥσπερ συνεφαπτομένους τοῖς σπένδουσι τῶν ἱερῶν·
the-ones as-it-were laying-hold-with the-ones pouring of-the offerings
ἀποδοθῆναι γὰρ περὶ τούτων ἑτέραν ἐκκλησίαν. βοώντων
to-have-been-given for about these another assembly shouting
δὲ ὑμῶν καὶ τοὺς προέδρους ἐπὶ τὸ βῆμα καλούντων,
but you and the presidents to the platform calling
οὕτως ἄκοντος αὐτοῦ τὸ ψήφισμα ἐπεψηφίσθη.
so unwilling he the decree was-put-to-the-vote
ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι τὸν γράψαντα τὸ ψήφισμα 85
that and true-things I-say call for-me the-one having-proposed the decree
Ἀλεξίμαχον καὶ τοὺς συμπροέδρους τοὺς Δημοσθένους, καὶ
Aleximachus and the fellow-presidents the of-Demosthenes and
τὴν μαρτυρίαν ἀνάγνωθι.
the testimony read
ὁ μὲν τοίνυν ἐπιδακρύσας ἀρτίως ἐνταυθοῖ Δημοσθένης
the-one indeed then having-shed-tears just-now here Demosthenes
μνησθεὶς Κερσοβλέπτου, φαίνεται τῆς συμμαχίας
having-mentioned Cersobleptes appears from-the alliance
ἐκκλήων αὐτόν. ὡς δ' ἡ παροῦσα ἐκκλησία διελύθη,
shutting-out him when and the present assembly broke-up
ἐξώρκιζον τοὺς συμμάχους οἱ τοῦ Φιλίππου πρέσβεις
administered-the-oath-to the allies the — of-Philip envoys
ἐν τῷ στρατηγίῳ τῷ ὑμετέρῳ.
in the generals'-office the your

86 τετόλμηκε δὲ πρὸς ὑμᾶς εἰπεῖν ὁ κατήγορος, ὡς ἀπὸ
he-has-dared and to you to-say the accuser that from
τῶν ἱερῶν ἐγὼ Κριτόβουλον ἀπήλασα τὸν πρεσβευτὴν
the offerings I Critobulus drove-away the envoy
τὸν παρὰ Κερσοβλέπτου, παρόντων μὲν τῶν συμμάχων,
the-one from Cersobleptes being-present indeed the allies
ἐψηφισμένου δὲ τοῦ δήμου, παρακαθημένων δὲ τῶν
having-voted and the people sitting-by and the
στρατηγῶν, πόθεν τοσαύτην ῥώμην λαβών; ἢ πῶς ἂν τὸ
generals whence such strength having-got or how — the
πρᾶγμα ἐσιγήθη; εἰ δ' ἄρα ἐγὼ ἐτόλμων τοῦτο
thing would-have-been-hushed-up if and after-all I dared this
ποιεῖν, ἐπέτρεψας ἄν, ὦ Δημόσθενες, καὶ οὐκ ἐνέπλησας
to-do would-you-have-allowed — O Demosthenes and not filled
βοῆς καὶ κραυγῆς τὴν ἀγοράν, ὁρῶν με, ὡς ἔφησθ'
with-shouting and crying the marketplace seeing me as you-said
ἀρτίως, ὠθοῦντα ἀπὸ τῶν ἱερῶν τὸν πρεσβευτήν; καλείτω
just-now pushing from the offerings the envoy let-call
δέ μοι τοὺς στρατηγοὺς ὁ κῆρυξ καὶ τοὺς συνέδρους
and for-me the generals the herald and the delegates
τῶν συμμάχων, καὶ τὰς μαρτυρίας αὐτῶν ἀκούσατε.
of-the allies and the testimonies their hear

87 οὐκ οὖν δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, εἴ τις κατ'
not then terrible O men Athenians if anyone against
ἀνδρὸς πολίτου, οὐχ ἑαυτοῦ, ἀλλ' ὑμετέρου, τοῦτο
a-man citizen not his-own but yours this
γὰρ προδιορθοῦμαι, τολμᾷ τηλικαῦτα καταψεύδεσθαι,
for I-correct-beforehand dares such-things to-lie
κινδυνεύοντος ὑπὲρ τοῦ σώματος; ἢ πῶς οὐκ εἰκότως οἱ
being-in-danger for the life or how not reasonably the
πατέρες ἡμῶν ἐν ταῖς φονικαῖς δίκαις ταῖς ἐπὶ Παλλαδίῳ
fathers our in the murder trials the at Palladium

κατέδειξαν, τέμνοντα τὰ τόμια τὸν νικῶντα τῇ ψήφῳ
established cutting the victims'-pieces the-one winning by-the vote
ἐξορκίζεσθαι, καὶ τοῦτο ὑμῖν πάτριόν ἐστιν ἔτι καὶ νῦν,
to-swear and this for-you ancestral is still even now
τἀληθῆ καὶ τὰ δίκαια ἐψηφίσθαι τῶν δικαστῶν ὅσοι
the-truth and the just to-have-been-voted of-the jurors as-many-as
τὴν ψῆφον ἤνεγκαν αὐτῷ, καὶ ψεῦδος μηδὲν εἰρηκέναι,
the vote cast for-him and lie no to-have-spoken
εἰ δὲ μή, ἐξώλη αὐτὸν εἶναι ἐπαρᾶσθαι καὶ τὴν οἰκίαν
if but not destroyed himself to-be to-call-down and the house
τὴν αὑτοῦ, τοῖς δὲ δικασταῖς εὔχεσθαι πολλὰ καὶ ἀγαθὰ
the his-own for-the but jurors to-pray many and good-things
εἶναι; καὶ μάλα ὀρθῶς καὶ πολιτικῶς, ὦ ἄνδρες Ἀθηναῖοι·
to-be and very rightly and constitutionally O men Athenians
εἰ γὰρ μηδεὶς ἂν ὑμῶν ἑαυτὸν ἀναπλῆσαι φόνου 88
if for no-one — of-you himself to-stain with-bloodshed
δικαίου βούλοιτο, ἦ που ἀδίκου γε φυλάξαιτ'
justified would-wish surely — unjust at-least he-would-guard-against
ἄν, τὴν ψυχὴν ἢ τὴν οὐσίαν ἢ τὴν ἐπιτιμίαν τινὸς
— the life or the property or the citizen-rights of-anyone
ἀφελόμενος, ἐξ ὧν αὐτοὺς ἀνηρήκασί τινες, οἱ δὲ
having-taken-away from which themselves have-killed some the-others and
καὶ δημοσίᾳ ἐτελεύτησαν. ἆρ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι,
also publicly were-executed — then O men Athenians
δοίητ' ἄν μοι συγγνώμην, εἰ κίναιδον αὐτὸν προσειπὼν
would-you-give — me pardon if a-pervert him having-called
καὶ μὴ καθαρεύοντα τῷ σώματι, μηδ' ὅθεν τὴν φωνὴν
and not clean in-the body nor from-where the voice
ἀφίησιν, ἔπειτα τὸ λοιπὸν μέρος τοῦ κατηγορήματος τοῦ
he-emits then the remaining part of-the charge the
περὶ Κερσοβλέπτην ἐπ' αὐτοφώρῳ δείξαιμι ψεῦδος ὄν;
about Cersobleptes in the-act I-should-show false being

89 κάλλιστον γὰρ οἶμαι πρᾶγμα καὶ χρησιμώτατον τοῖς
finest for I-think thing and most-useful for-the
διαβαλλομένοις παρ᾽ ὑμῖν γίγνεται· καὶ γὰρ τοὺς χρόνους καὶ
slandered among you happens and for the dates and
τὰ ψηφίσματα καὶ τοὺς ἐπιψηφίσαντας ἐν τοῖς δημοσίοις
the decrees and the-ones having-put-to-vote in the public
γράμμασι τὸν ἅπαντα χρόνον φυλάττετε. εἴρηκε δὲ οὗτος
records for-the all time you-keep has-said and this-man
πρὸς ὑμᾶς, παρὰ τοῦτο διαφθαρῆναι τὰ Κερσοβλέπτου
to you because-of this to-have-been-ruined the of-Cersobleptes
πράγματα, ὅτι τῆς πρεσβείας ὢν ἡγεμὼν ἐγὼ καὶ
affairs because of-the embassy being leader I and
κατευημερηκὼς παρ᾽ ὑμῖν, αὐτοῦ κελεύοντος εἰς Θράκην ἡμᾶς
having-won-favor with you he bidding to Thrace us
ἰέναι Κερσοβλέπτου πολιορκουμένου, καὶ διαμαρτύρασθαι
to-go Cersobleptes being-besieged and to-protest
Φιλίππῳ ταῦτα μὴ ποιεῖν, οὐκ ἠθέλησα, ἀλλ᾽ ἐκαθήμην
to-Philip these-things not to-do not I-was-willing but I-sat
ἐν Ὠρεῷ, καὶ οἱ συμπρέσβεις, προξενίας κατασκευαζόμενοι.
in Oreus and the fellow-envoys consulships arranging
90 ἀκούσατε δὴ τῆς Χάρητος ἐπιστολῆς, ἣν ἐπέστειλε τότε
hear indeed the of-Chares letter which he-sent then
τῷ δήμῳ, ὅτι Κερσοβλέπτης ἀπολώλεκε τὴν ἀρχὴν καὶ
to-the people that Cersobleptes has-lost the kingdom and
Ἱερὸν ὄρος κατείληφε Φίλιππος Ἐλαφηβολιῶνος μηνὸς
Sacred Mountain has-seized Philip of-Elaphebolion month
ἑβδόμῃ φθίνοντος· Δημοσθένης δ᾽ ἐν τῷ δήμῳ προήδρευε
on-the-seventh waning Demosthenes and in the assembly presided
τούτου τοῦ μηνός, εἷς ὢν τῶν πρέσβεων, ἕκτῃ φθίνοντος.
of-this the month one being of-the envoys on-the-sixth waning

οὐ μόνον τοίνυν διετρίψαμεν τὰς λοιπὰς ἡμέρας τοῦ 91
not only then we-spent the remaining days of-the
μηνός, ἀλλὰ Μουνιχιῶνος ἐξωρμήσαμεν. καὶ τούτου
month but in-Munichion we-set-out and of-this
τὴν βουλὴν μάρτυρα ὑμῖν παρέξομαι· ἔστι γὰρ αὐτῆς
the council as-witness to-you I-will-produce there-is for its
ψήφισμα, ὃ κελεύει ἀπιέναι τοὺς πρέσβεις ἐπὶ τοὺς
decree which bids to-depart the envoys for the
ὅρκους. καί μοι λέγε τὸ τῆς βουλῆς ψήφισμα.
oaths and for-me read the of-the council decree
παρανάγνωθι δὴ καὶ τὸν χρόνον, ὅστις ἦν.
read-alongside indeed also the date what was
ἀκούετε ὅτι Μουνιχιῶνος ἐψηφίσθη τρίτῃ ἱσταμένου. ὁ 92
you-hear that of-Munichion it-was-voted on-the-third waxing —
δὲ Κερσοβλέπτης πόσαις πρότερον ἡμέραις ἀπώλεσε τὴν
but Cersobleptes by-how-many earlier days lost the
ἀρχὴν πρὶν ἐμὲ ἀπιέναι; ὡς φησι Χάρης ὁ στρατηγός, τοῦ
kingdom before me to-depart as says Chares the general in-the
προτέρου μηνός, εἴπερ Ἐλαφηβολιών ἐστι Μουνιχιῶνος
earlier month if-indeed Elaphebolion is than-Munichion
πρότερος. ἐδυνάμην ἂν οὖν ἐγὼ σῶσαι Κερσοβλέπτην,
earlier could — then I to-have-saved Cersobleptes
ὃς πρὶν ἐμὲ ἐξορμᾶν οἴκοθεν ἀπωλώλει; ἔπειτα οἴεσθέ
who before me to-set-out from-home had-been-lost then do-you-think
τι τοῦτον ἀληθὲς εἰρηκέναι ἢ περὶ τῶν ἐν
anything this-man true to-have-said either about the-things in
Μακεδονίᾳ πραχθέντων ἢ περὶ τῶν ἐν Θετταλίᾳ, ὃς
Macedonia done or about the-things in Thessaly who
τοῦ βουλευτηρίου καὶ τῶν δημοσίων γραμμάτων καὶ
about-the council-house and the public records and
τοῦ χρόνου καὶ τῶν ἐκκλησιῶν καταψεύδεται;
the date and the assemblies tells-lies

93 καὶ τὸν Κερσοβλέπτην Ἀθήνησι μὲν ἔκσπονδον ἐποίεις,
and — Cersobleptes at-Athens indeed excluded-from-the-treaty you-made
ἐν Ὠρεῷ δ' ἠλέεις; καὶ νῦν μὲν δωροδοκίας κατηγορεῖς,
at Oreus but you-pitied and now indeed of-bribe-taking you-accuse
πρότερον δ' ὑπέμεινας τὴν ἐπιβολὴν τῆς βουλῆς τῆς
earlier but you-submitted-to the fine of-the council the
ἐξ Ἀρείου πάγου, οὐκ ἐπεξιὼν τῇ τοῦ τραύματος γραφῇ,
of Ares bill not prosecuting the of-the wounding indictment
ἣν ἐγράψω Δημομέλην τὸν Παιανιέα, ἀνεψιὸν ὄντα,
which you-brought-against Demomeles the Paeanian cousin being
ἐπιτεμὼν τὴν σαυτοῦ κεφαλήν; καὶ σεμνολογεῖ ὡς οὐκ εἰδόσι
having-cut the your-own head and you-speak-grandly as-if not knowing
τούτοις ὅτι Δημοσθένους υἱὸς εἶ νόθος τοῦ μαχαιροποιοῦ;
to-these that of-Demosthenes son you-are bastard the cutler
94 ἐπεχείρησας δ' εἰπεῖν, ὡς καὶ τὴν ἐπὶ τοὺς Ἀμφικτύονας
you-tried and to-say that also the to the Amphictyons
πρεσβείαν ἐξομοσάμενος παρεπρέσβευσα, καὶ ψήφισμα
embassy having-declined-on-oath I-misconducted-the-embassy and decree
τὸ μὲν ἀνέγνως, τὸ δὲ ὑπερέβης. ἐγὼ δ' αἱρεθεὶς
the-part indeed you-read the-part but you-skipped I but chosen
πρεσβευτὴς ἐπὶ τοὺς Ἀμφικτύονας, ἀρρώστως δ' ἔχων,
envoy to the Amphictyons ill but being
καὶ μετὰ πολλῆς προθυμίας ἀπαγγέλλων ἀφ' ἧς ἦκον
and with much eagerness reporting from which I-had-come
πρεσβείας πρὸς ὑμᾶς, τὴν μὲν πρεσβείαν οὐκ ἐξωμοσάμην,
embassy to you the indeed embassy not I-declined
ἀλλ' ὑπεσχόμην πρεσβεύσειν, ἐὰν ὦ δυνατός, πρὸς δὲ
but I-promised to-be-going-to-serve if I-be able to but
τὴν βουλὴν ἀπιόντων τῶν συμπρέσβεων τὸν ἀδελφὸν τὸν
the council departing the fellow-envoys the brother the

ἐμαυτοῦ καὶ τὸν ἀδελφιδοῦν καὶ τὸν ἰατρὸν ἔπεμψα, οὐκ
my-own and the nephew and the physician I-sent not
ἐξομουμένους·
going-to-decline-on-oath
οὐδὲ γὰρ ὁ νόμος ἐᾷ τὰς ἐκ τοῦ δήμου χειροτονίας 95
nor for the law allows the from the people elections
ἐν τῇ βουλῇ ἐξόμνυσθαι· ἀλλὰ τὴν ἀρρωστίαν μου
in the council to-decline-on-oath but the illness my
δηλώσοντας.
going-to-declare
ἐπειδὴ δὲ οἱ συμπρέσβεις πυθόμενοι τὰ περὶ τοὺς Φωκέας
when and the fellow-envoys having-learned the-things about the Phocians
συμβάντα ἀνέστρεψαν, γενομένης ἐκκλησίας ἤδη παρὼν
having-happened turned-back being-held an-assembly already present
καὶ δυνάμενος τῷ σώματι, προσαναγκάζοντος τοῦ δήμου
and able in-the body compelling the people
μηδὲν ἧττον πρεσβεύειν ἡμᾶς τοὺς ἐξ ἀρχῆς αἱρεθέντας
nothing less to-serve-as-envoys us the-ones from the-start chosen
ἅπαντας, ἀψευδεῖν πρὸς Ἀθηναίους ᾤμην δεῖν.
all to-be-true toward Athenians I-thought to-be-necessary
καὶ ταύτης τῆς πρεσβείας οὐ κατηγόρεις μου διδόντος τὰς 96
and of-this the embassy not you-accused me giving the
εὐθύνας, ἀλλ' ἐπὶ ταύτην ἥκεις τὴν ἐπὶ τοὺς ὅρκους,
audits but to this you-come the-one for the oaths
ὑπὲρ ἧς ἐγὼ σαφῶς καὶ δικαίως ἀπολογήσομαι. σοὶ
about which I clearly and justly will-defend-myself for-you
μὲν γὰρ ἁρμόττει καὶ πᾶσι τοῖς ψευδομένοις μεταφέρειν
indeed for it-suits and for-all the liars to-shift
τοὺς χρόνους, ἐμοὶ δ' ἐφεξῆς λέγειν, ἀναλαβόντι τὴν
the dates for-me but in-order to-speak taking-up the
ἀρχὴν τοῦ λόγου ἀπὸ τῆς πορείας τῆς ἐπὶ τοὺς ὅρκους.
beginning of-the account from the journey the for the oaths

On the second embassy no one would share a mess or an inn with Demosthenes. The decree did not send the envoys to Thrace, only to receive the oaths, and nothing could be done there, since Cersobleptes had already fallen. Demosthenes claimed to be going to ransom prisoners, though Philip had never taken ransom and promised to free the rest at the peace; he carried a single talent. When the envoys met in Macedonia, Aeschines told them they were missing their chief task, which was to speak frankly to Philip about his march on Thermopylae, the Thebans, and the Boeotian walls. Demosthenes shouted him down, saying he would not embroil the cities or go beyond his orders. The envoys voted that each should say what he thought best.

97 πρῶτον μὲν γὰρ δέκα πρέσβεων ὄντων, ἑνδεκάτου δὲ
first indeed for ten envoys being an-eleventh and
τοῦ συμπεμφθέντος ἡμῖν ἀπὸ τῶν συμμάχων, οὐδεὶς
the-one sent-with us from the allies no-one
αὐτῷ συσσιτεῖν, ὅτ᾽ ἐξῇμεν ἐπὶ τὴν ὑστέραν πρεσβείαν,
with-him to-mess when we-set-out on the second embassy
ἤθελεν, οὐδὲ ἐν ταῖς ὁδοῖς, ὅπου δυνατὸν ἦν, εἰς ταὐτὸν
was-willing nor on the roads where possible it-was in the-same
πανδοκεῖον καταλύειν, ὁρῶντες αὐτὸν ἐν τῇ προτέρᾳ
inn to-lodge seeing him on the first
πρεσβείᾳ πᾶσιν αὐτοῖς ἐπιβεβουλευκότα.
embassy all them having-plotted-against

98 περὶ μὲν οὖν τῆς ἐπὶ Θρᾴκης ὁδοῦ οὐκ ἐγένετο
about indeed then the toward Thrace road not was-made
μνεία· οὔτε γὰρ τὸ ψήφισμα τοῦθ᾽ ἡμῖν προσέταττεν,
mention neither for the decree this us ordered
ἀλλ᾽ ἀπολαβεῖν μόνον τοὺς ὅρκους καὶ ἄλλ᾽ ἄττα,
but to-receive only the oaths and other some-things
οὔτ᾽ ἐλθόντας πράττειν οὐδὲν ἐνεδέχετο, τῶν περὶ
nor having-gone to-do anything was-possible of-the-things about

Κερσοβλέπτην ἤδη γεγενημένων, ὡς ἀρτίως ἠκούσατε,
Cersobleptes already having-happened as just-now you-heard
οὔθ' οὗτος οὐδὲν ἀληθὲς εἶπεν, ἀλλὰ ψεύδεται καὶ
nor this-man anything true said but he-lies and
κατηγορεῖν οὐδὲν ἀληθὲς ἔχων τερατεύεται.
to-accuse nothing true having talks-marvels
ἐπορεύετο δὲ λυσόμενος τοὺς αἰχμαλώτους, ὡς ἔφη, καὶ 100
he-was-going and to-ransom the prisoners as he-said and
πρὸς ὑμᾶς ἀρτίως εἴρηκεν, εἰδὼς μὲν Φίλιππον ἐν τῷ
to you just-now has-said knowing indeed Philip in the
πολέμῳ οὐδένα πώποτε Ἀθηναίων λύτρα πραξάμενον,
war no ever of-Athenians ransom having-exacted
ἀκούων δὲ τῶν ἐκείνου φίλων ἁπάντων, ὅτι καὶ
hearing and from-the his friends all that also
τοὺς λοιπούς, ἐὰν εἰρήνη γένηται, ἀφήσει, πολλῶν
the rest if peace is-made he-will-release many
Rumor, Aeschines says, is the people's voice and honored as a god; slander is one man's charge before the assembly and council. The charge of treason angered him most, and against it he presents his family. His father Atrometus, at ninety-four nearly the oldest citizen, was an athlete in his youth, an exile under the Thirty, and one of those who brought back the democracy; his phratry shares the altars of the Eteobutadae. His mother fled to Corinth with her husband, while Demosthenes, indicted for desertion, bribed his accuser Nicodemus. His brother Philochares is in his third year as general, and his brother Aphobetus was envoy to the king of Persia. Demosthenes has even insulted his wife's father Philodemus, through whom he was himself enrolled in his deme, and her brothers Philon and Epicrates, men the jurors would gladly see multiplied.

145 εὖ δ' ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι πλεῖστον διαφέρει
well and know O men Athenians that very-greatly differs
φήμη καὶ συκοφαντία. φήμη μὲν γὰρ οὐ κοινωνεῖ διαβολῇ,
rumor and slander rumor indeed for not shares with-calumny
διαβολὴ δὲ ἀδελφόν ἐστι συκοφαντίᾳ. διοριῶ δ' αὐτῶν
calumny but akin is to-slander I-will-define and of-them
ἑκάτερον ἐγὼ σαφῶς. φήμη μέν ἐστιν, ὅταν τὸ πλῆθος
each I clearly rumor indeed is whenever the multitude
τῶν πολιτῶν αὐτόματον ἐκ μηδεμιᾶς προφάσεως λέγῃ
of-the citizens of-its-own-accord from no pretext says
τινὰ ὡς γεγενημένην πρᾶξιν· συκοφαντία δ' ἐστίν, ὅταν
some as having-happened deed slander but is whenever
πρὸς τοὺς πολλοὺς εἷς ἀνὴρ αἰτίαν ἐμβαλών, ἔν τε ταῖς
before the many one man a-charge having-thrown-in in both the
ἐκκλησίαις ἁπάσαις πρός τε τὴν βουλὴν διαβάλλῃ τινά.
assemblies all before and the council slanders someone
καὶ τῇ μὲν φήμῃ δημοσίᾳ θύομεν ὡς θεῷ, τῶν δὲ
and to-the indeed rumor publicly we-sacrifice as to-a-god of-the but

συκοφαντῶν ὡς κακούργων δημοσίᾳ προβολὰς ποιούμεθα.
slanderers as criminals publicly indictments we-make
μὴ οὖν σύναγε εἰς ταὐτὸν τὰ κάλλιστα τοῖς αἰσχίστοις.
not then bring-together into the-same the finest-things with-the most-shameful
ἐπὶ πολλοῖς μὲν οὖν ἔγωγε τῶν κατηγορημένων ἠγανάκτησα, 146
at many indeed then I of-the charges was-indignant
μάλιστα δὲ ἡνίκα ᾐτιᾶτό με εἶναι προδότην· ἅμα γὰρ
most but when he-accused me to-be a-traitor at-the-same-time for
ταῖς αἰτίαις ταύταις φανῆναί με ἔδει θηριώδη καὶ τὴν ψυχὴν
with-the charges these to-appear me had-to brutish and the soul
ἄστοργον καὶ πολλοῖς ἑτέροις πρότερον ἁμαρτήμασι
without-natural-affection and to-many other earlier offenses
ἔνοχον. τοῦ μὲν οὖν ἐμοῦ βίου καὶ τῆς καθ' ἡμέραν διαίτης
liable of-the indeed then my life and the by day way-of-living
ὑμᾶς δοκιμαστὰς ἱκανοὺς εἶναι νομίζω· ἃ δ' ἐστὶ τοῖς
you examiners competent to-be I-consider the-things-which but are to-the
μὲν πολλοῖς ἀσύνοπτα, τοῖς δὲ χρηστοῖς τὰς ψυχὰς μέγιστα,
indeed many unseen to-the but good in-the souls greatest
τούτων ὑμῖν τὰ πλεῖστα καὶ καλῶς ἔχοντα ἐκ τῶν νόμων
of-these to-you the most and well being from the laws
ὁρᾶν ἀναβιβῶμαι, ἵν' εἰδῆτε τὰς ἐμὰς παρακαταθήκας,
to-see I-will-bring-up so-that you-may-know the my pledges
ἃς οἴκοι καταλιπὼν εἰς Μακεδονίαν ἐπρέσβευσα.
which at-home having-left to Macedonia I-went-as-envoy
σὺ μὲν γάρ, Δημόσθενες, ταῦτα ἐπλάσω ἐπ' ἐμέ, ἐγὼ δ' 147
you indeed for Demosthenes these-things fabricated against me I but
ὡς ἐπαιδεύθην καὶ δικαίως ἐξηγήσομαι. οὑτοσὶ μέν ἐστί
as I-was-brought-up and justly will-relate this-man-here indeed is
μοι πατὴρ Ἀτρόμητος, σχεδὸν πρεσβύτατος τῶν πολιτῶν·
my father Atrometus nearly oldest of-the citizens
ἔτη γὰρ ἤδη βεβίωκεν ἐνενήκοντα καὶ τέτταρα· συμβέβηκε
years for already he-has-lived ninety and four it-befell

δὲ αὐτῷ νέῳ μὲν ὄντι, πρὶν τὴν οὐσίαν ἀπολέσαι διὰ
and him young indeed being before the property to-lose because-of
τὸν πόλεμον, ἀθλεῖν τῷ σώματι, ἐκπεσόντι δὲ ὑπὸ
the war to-compete with-the body having-been-exiled and by
τῶν τριάκοντα στρατεύεσθαι μὲν ἐν τῇ Ἀσίᾳ, ἀριστεύειν
the thirty to-serve indeed in — Asia to-be-distinguished
δ' ἐν τοῖς κινδύνοις, εἶναι δ' ἐκ φρατρίας τὸ γένος ἧ
and in the dangers to-be and from a-phratry — by-birth which
τῶν αὐτῶν βωμῶν Ἐτεοβουτάδαις μετέχει, ὅθεν ἡ τῆς
the same altars with-Eteobutadae shares whence the —
Ἀθηνᾶς τῆς Πολιάδος ἐστὶν ἱέρεια, συγκατάγειν δὲ τὸν
of-Athena the Polias is priestess to-help-bring-back and the
δῆμον, ὥσπερ καὶ ὀλίγῳ πρότερον εἶπον.
people as also a-little earlier I-said

148 ἐλευθέρους δέ μοι συμβέβηκεν εἶναι καὶ τοὺς πρὸς μητρὸς
free and for-me it-has-befallen to-be also the-ones on-the-side of-mother
ἅπαντας, ἧ νῦν ἐμοὶ πρὸ τῶν ὀφθαλμῶν προφαίνεται
all who now to-me before the eyes appears
φοβουμένη περὶ τῆς ἐμῆς σωτηρίας καὶ διηπορημένη.
fearing for the my safety and distraught
καίτοι, Δημόσθενες, ἡ μὲν ἐμὴ μήτηρ ἔφυγε μετὰ τοῦ
and-yet Demosthenes the indeed my mother fled with the
ἀνδρὸς εἰς Κόρινθον καὶ μετέσχε τῶν πολιτικῶν κακῶν·
husband to Corinth and shared the civic misfortunes
σὺ δὲ ὁ ἀμφισβητῶν ἀνὴρ εἶναι, οὐ γὰρ ἂν τολμήσαιμι
you but the-one claiming a-man to-be not for — I-would-dare
εἰπεῖν ὡς ἀνὴρ εἶ, ἐγράφης λιποταξίου, καὶ τὸν
to-say that a-man you-are were-indicted for-desertion and the
γραψάμενον Νικόδημον τὸν Ἀφιδναῖον χρήμασι πείσας
having-indicted Nicodemus the Aphidnaean with-money having-persuaded

ἐσώθης, ὃν ὕστερον μετὰ Ἀριστάρχου συναπέκτεινας, καὶ
were-saved whom later with Aristarchus you-helped-kill and
οὐ καθαρὸς ὢν εἰς τὴν ἀγορὰν ἐμβάλλεις.
not pure being into the marketplace you-burst
Φιλοχάρης δ' οὑτοσί, ὁ πρεσβύτατος ἀδελφὸς ἡμῶν, οὐκ 149
Philochares and this-man-here the eldest brother our not
ἀγεννεῖς διατριβάς, ὡς σὺ βλασφημεῖς, ἀλλ' ἐν γυμνασίοις
ignoble pastimes as you slander but in gymnasia
διατρίβων, καὶ μετὰ Ἰφικράτους συνεστρατευμένος, καὶ
spending-time and with Iphicrates having-campaigned and
συνεχῶς ἔτος ἤδη τουτὶ τρίτον στρατηγῶν, ἥκει δεησόμενος
continuously year now this-here third serving-as-general has-come to-beg
ὑμῶν ἐμὲ σῶσαι. Ἀφόβητος δ' οὑτοσί, ὁ νεώτατος ἡμῶν
you me to-save Aphobetus and this-man-here the youngest our
ἀδελφός, πεπρεσβευκὼς μὲν ὑπὲρ ὑμῶν ἀξίως τῆς πόλεως
brother having-served-as-envoy indeed for you worthily of-the city
πρὸς τὸν Περσῶν βασιλέα, καλῶς δὲ καὶ δικαίως τῶν
to the of-Persians king well and also justly the
ὑμετέρων προσόδων ἐπιμεληθείς, ὅτε αὐτὸν ἐπὶ τὴν κοινὴν
your revenues having-taken-care-of when him over the public
διοίκησιν εἵλεσθε, καὶ πεπαιδοποιημένος κατὰ τοὺς νόμους,
administration you-chose and having-begotten-children according-to the laws
ἀλλ' οὐ Κνωσίωνι τὴν ἑαυτοῦ γυναῖκα παρακατακλίνων,
but not beside-Cnosion the his-own wife laying
ὥσπερ σύ, πάρεστι καταφρονῶν τῶν σῶν λοιδοριῶν· τὸ
as you is-present despising the your abuses the
γὰρ ψευδὲς ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται.
for false reproach not further than-the hearing reaches
ἐτόλμησας δὲ καὶ περὶ τῶν ἐμῶν κηδεστῶν εἰπεῖν· οὕτως 150
you-dared and also about the my in-laws to-speak so
ἀναιδὴς καὶ πόρρωθεν ἀχάριστος εἶ, ὃς Φιλόδημον
shameless and from-of-old ungrateful you-are who Philodemus

τὸν Φίλωνος πατέρα καὶ Ἐπικράτους οὐκ ἀγαπᾶς οὐδὲ
the of-Philon father and of-Epicrates not love nor
προσκυνεῖς, δι᾽ ὃν εἰς τοὺς δημότας ἐνεγράφης,
revere because-of whom into the demesmen you-were-enrolled
ὡς ἴσασιν οἱ πρεσβύτεροι Παιανιέων. ἐκπέπληγμαι
as know the elders of-Paeanians I-am-astonished
δέ, εἰ σὺ λοιδορεῖν Φίλωνα τολμᾷς, καὶ ταῦτα ἐν
and if you to-abuse Philon dare and that among
τοῖς ἐπιεικεστάτοις Ἀθηναίων, οἳ δεῦρο εἰσεληλύθασι
the most-reasonable of-Athenians who here have-come-in
δικάσοντες ἕνεκα τοῦ βελτίστου τῆς πόλεως, καὶ
to-judge for-the-sake-of the best of-the city and
μᾶλλον προσέχουσι τοῖς βίοις ἡμῶν ἢ τοῖς λόγοις.
more attend to-the lives our than the words
151 πότερα γὰρ ἂν προσδοκᾷς αὐτοὺς εὔξασθαι μυρίους
whether for — you-expect them to-pray ten-thousand
ὁπλίτας ὁμοίους Φίλωνι γενέσθαι, καὶ τὰ σώματα οὕτω
hoplites like to-Philon to-be and the bodies so
διακειμένους καὶ τὴν ψυχὴν οὕτω σώφρονας, ἢ τρισμυρίους
disposed and the soul so temperate or thirty-thousand
κιναίδους οἵους περ σύ; καὶ τὴν Ἐπικράτους εὐαγωγίαν,
perverts such as you and the of-Epicrates gentleness
τοῦ Φίλωνος ἀδελφοῦ, ἐπανάγεις εἰς ὀνείδη. καὶ τίς αὐτὸν
the of-Philon brother you-bring-round into reproaches and who him
εἶδε πώποτε ἀσχημονήσαντα, ἢ μεθ᾽ ἡμέραν, ὡς σὺ
saw ever behaving-indecently either by day as you
φῂς, ἐν τῇ πομπῇ τῶν Διονυσίων, ἢ νύκτωρ; οὐ γὰρ ἂν
say in the procession of-the Dionysia or by-night not for —
τοῦτό γ᾽ εἴποις, ὡς ἔλαθεν· οὐ γὰρ ἠγνοεῖτο.
this at-least you-could-say that he-escaped-notice not for he-was-unknown

Aeschines brings his three children as proof that he would not betray his country and his family for Philip's friendship. Demosthenes invented the story of the Olynthian woman and was hissed off the platform when he told it; Aristophanes of Olynthus testifies that Demosthenes offered him money to swear to it. Demosthenes set the actor Satyrus, who begged captives off Philip, against Aeschines, who he says whipped a captive woman. Aeschines asks whether the city will let so polluted a man go about, since Hesiod says a whole city pays for one bad man. He asks what decree he proposed or what law he broke; those who oppose the peace grew rich on the war. He sang the paean with the other envoys while the god was honored, a pious act. Changing policy with the times is the city's own practice. Demosthenes, by contrast, wrote a speech for Phormio and showed it to his opponent Apollodorus, and ruined the house of Aristarchus.

ἐμοὶ δέ, ὦ ἄνδρες, ἐκ τῆς Φιλοδήμου θυγατρὸς καὶ Φίλωνος 152
to-me and O men from the of-Philodemus daughter and of-Philon
ἀδελφῆς καὶ Ἐπικράτους τρεῖς παῖδές εἰσι, μία μὲν θυγάτηρ,
sister and of-Epicrates three children are one indeed daughter
δύο δὲ υἱεῖς· οὓς ἐγὼ δεῦρο ἥκω μετὰ τῶν ἄλλων κομίζων,
two and sons whom I here have-come with the others bringing
ἑνὸς ἐρωτήματος ἕνεκα καὶ τεκμηρίου πρὸς τοὺς δικαστάς,
of-one question for-the-sake and proof for the jurors
ὃ νῦν δὴ ἐρήσομαι. ἐρωτῶ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ
which now indeed I-will-ask I-ask for O men Athenians whether
δοκῶ ἂν ὑμῖν πρὸς τῇ πατρίδι καὶ τῇ τῶν φίλων συνηθείᾳ
I-seem — to-you besides the fatherland and the of-the friends intimacy
καὶ ἱερῶν καὶ τάφων πατρῴων μετουσίᾳ τουτουσὶ τοὺς
and of-rites and of-tombs ancestral share these-here the
πάντων ἀνθρώπων ἐμοὶ φιλτάτους προδοῦναι Φιλίππῳ, καὶ
of-all men to-me dearest to-betray to-Philip and
περὶ πλείονος τὴν ἐκείνου φιλίαν τῆς τούτων σωτηρίας
of more the his friendship than-the their safety

ποιήσασθαι. ποίᾳ κρατηθεὶς ἡδονῇ; ἢ τί πώποτε ἄσχημον
to-make by-what overcome pleasure or what ever unseemly
ἕνεκα χρημάτων πράξας; οὐ γὰρ ἡ Μακεδονία κακοὺς
for-the-sake-of money having-done not for — Macedonia bad
ἢ χρηστοὺς ποιεῖ, ἀλλ' ἡ φύσις· οὐδ' ἐσμὲν ἕτεροί τινες
or good makes but the nature nor we-are different some
ἥκοντες ἀπὸ τῆς πρεσβείας, ἀλλ' οἵους ὑμεῖς ἐξεπέμψατε.
having-come from the embassy but such-as you sent-out
153 συμπέπλεγμαι δ' ἐν τῇ πολιτείᾳ καθ' ὑπερβολὴν ἀνθρώπῳ
I-have-been-entangled and in the public-life to excess with-a-man
γόητι καὶ πονηρῷ, ὃς οὐδ' ἂν ἄκων ἀληθὲς οὐδὲν
a-sorcerer and wicked who not-even — unwilling true nothing
εἴποι. ἡγεῖται δέ, ὅταν τι ψεύδηται, τῶν λόγων
would-say leads-off and whenever something he-lies of-the words
ὅρκος κατὰ τῶν ἀναισχύντων ὀφθαλμῶν, καὶ τὰ μὴ
an-oath by the shameless eyes and the-things not
γεγενημένα οὐ μόνον ὡς ἔστι λέγει, ἀλλὰ καὶ τὴν ἡμέραν
having-happened not only as is he-says but also the day
ἐν ᾗ φησι γενέσθαι· καὶ προστίθησίν τινος ὄνομα
on which he-says to-have-happened and he-adds of-someone name
πλασάμενος, ὡς ἔτυχε παρών, μιμούμενος τοὺς τἀληθῆ
having-invented as happened being-present imitating the-ones the-truth
λέγοντας. ἓν δὲ εὐτυχοῦμεν οἱ μηδὲν ἀδικοῦντες,
telling in-one-thing but are-fortunate the-ones nothing doing-wrong
ὅτι πρὸς τῇ τερατείᾳ τοῦ τρόπου καὶ τῇ τῶν ὀνομάτων
that besides the jugglery of-the character and the of-the words
συνθέσει νοῦν οὐκ ἔχει. σκέψασθε γὰρ ἀφροσύνην ἅμα
arrangement sense not he-has consider for folly at-once
καὶ ἀπαιδευσίαν τἀνθρώπου, ὃς τοιοῦτον ἐπλάσατο τὸ
and ignorance of-the-man who such invented the
περὶ τὴν Ὀλυνθίαν γυναῖκα ψεῦδος κατ' ἐμοῦ, ἐφ' ᾧ
about the Olynthian woman lie against me at which

μεταξὺ λέγων ὑφ' ὑμῶν ἐξερρίφη· τὸν γὰρ πλεῖστον
in-the-middle speaking by you he-was-hissed-off the-man for farthest
ἀφεστηκότα τῶν τοιούτων πρὸς τοὺς εἰδότας διέβαλλε.
standing-apart from-the such-things before the ones-knowing he-slandered
σκέψασθε δέ, ὡς πόρρωθεν ἐπὶ τὴν αἰτίαν ταύτην 154
consider and how from-far-off for the charge this
παρεσκευάζετο. ἔστι γάρ τις ἐπιδημῶν εἰς τὴν πόλιν
he-was-preparing there-is for one sojourning in the city
Ἀριστοφάνης Ὀλύνθιος· τούτῳ συσταθεὶς ὑπό τινων καὶ
Aristophanes Olynthian to-him introduced by some and
πυθόμενος ὡς εἰπεῖν δύναται, ὑπερεκθεραπεύσας αὐτὸν
having-learned that to-speak he-is-able having-courted-lavishly him
καὶ προσαγαγόμενος, ἔπειθεν ἐμοῦ τὰ ψευδῆ
and having-won-over he-tried-to-persuade against-me the false-things
καταμαρτυρεῖν πρὸς ὑμᾶς, κἂν παρελθὼν ἐθελήσῃ
to-testify before you and-if having-come-forward he-is-willing
σχετλιάσαι καὶ λέγειν ὡς εἰς οἰκείαν αὐτοῦ γυναῖκα
to-cry-out and to-say that toward a-kinswoman his-own woman
αἰχμάλωτον γεγενημένην πεπαρῴνηκα, πεντακοσίας μὲν
captive having-become I-have-behaved-drunkenly five-hundred indeed
ἤδη δραχμὰς ὑπισχνεῖτο αὐτῷ δώσειν, πεντακοσίας
at-once drachmas he-promised him to-be-going-to-give five-hundred
δ' ἑτέρας, ἐπειδὰν καταμαρτυρήσῃ.
and other when he-testified-against-me
ὁ δ' αὐτῷ ἀπεκρίνατο, ὡς αὐτὸς διηγεῖτο, ὅτι τῆς μὲν 155
he and to-him answered as himself related that the indeed
φυγῆς καὶ τῆς παρούσης ἀπορίας αὐτῷ οὐ κακῶς, ἀλλ'
exile and the present distress his not badly but
ὡς οἷόν τε ἄριστα στοχάζοιτο, τοῦ δὲ τρόπου πλεῖστον
as possible — best he-aimed-at the but character very-far
εἴη διημαρτηκώς· οὐδὲν γὰρ ἂν τοιοῦτον πρᾶξαι. ὅτι δὲ
he-was having-missed nothing for — such to-do that and

ἀληθῆ λέγω, αὐτὸν Ἀριστοφάνην μαρτυροῦντα παρέξομαι.
true-things I-say himself Aristophanes testifying I-will-produce
κάλει μοι Ἀριστοφάνην Ὀλύνθιον, καὶ τὴν μαρτυρίαν
call for-me Aristophanes Olynthian and the testimony
ἀναγίγνωσκε, καὶ τοὺς ἀκηκοότας αὐτοῦ καὶ πρὸς
read and the-ones having-heard him and to
ἐμὲ ἀγγείλαντας, Δερκύλον Αὐτοκλέους Ἀγνούσιον καὶ
me having-reported Dercylus of-Autocles Hagnusian and
Ἀριστείδην Εὐφιλήτου Κηφισιέα.
Aristides of-Euphiletus Cephisian
156 τῶν μὲν μαρτύρων διομνυμένων καὶ μαρτυρούντων
the indeed witnesses swearing and testifying
ἀκούετε· τὰς δ' ἀνοσίους ταύτας τῶν λόγων τέχνας, ἃς
you-hear the but unholy these of-the speeches arts which
οὗτος πρὸς τοὺς νέους ἐπαγγέλλεται καὶ κέχρηται νυνὶ κατ'
this-man to the young professes and has-used now against
ἐμοῦ, ἆρα μέμνησθε, ὡς ἐπιδακρύσας καὶ τὴν Ἑλλάδα
me — do-you-remember how having-wept-over and — Greece
κατοδυράμενος, καὶ Σάτυρον τὸν κωμικὸν ὑποκριτὴν
having-lamented and Satyrus the comic actor
προσεπαινέσας, ὅτι ξένους τινὰς ἑαυτοῦ αἰχμαλώτους
having-praised-besides because guest-friends some his-own captives
σκάπτοντας ἐν τῷ Φιλίππου ἀμπελουργείῳ καὶ δεδεμένους
digging in the of-Philip vineyard and having-been-bound
παρὰ πότον ἐξῃτήσατο παρὰ Φιλίππου,
at a-drinking-party begged-off from Philip
157 ταῦθ' ὑποθεὶς ἐπεῖπεν ἐντεινάμενος ταύτην τὴν ὀξεῖαν
these-things having-laid-down he-added having-strained this the shrill
καὶ ἀνόσιον φωνήν, ὡς δεινόν, εἰ ὁ μὲν τοὺς Καρίωνας
and unholy voice how terrible if the-one indeed the Carions
καὶ Ξανθίας ὑποκρινόμενος οὕτως εὐγενὴς καὶ μεγαλόψυχος
and Xanthiases playing so noble and great-souled

γένοιτο, ἐγὼ δ' ὁ τῆς μεγίστης σύμβουλος πόλεως, ὁ
should-prove I but the of-the greatest counselor city the-one
τοὺς μυρίους Ἀρκάδων νουθετῶν, οὐ κατάσχοιμι τὴν
the ten-thousand of-Arcadians admonishing not should-restrain the
ὕβριν, ἀλλὰ παραθερμανθείς, ὅθ' ἡμᾶς εἱστία Ξενόδοκος
insolence but having-been-heated when us entertained Xenodocus
τῶν ἑταίρων τις τῶν Φιλίππου, ἕλκοιμι τῶν τριχῶν καὶ
of-the companions one the of-Philip I-should-drag by-the hair and
λαβὼν ῥυτῆρα μαστιγοίην αἰχμάλωτον γυναῖκα.
having-taken a-strap should-whip a-captive woman
οὐκοῦν εἰ ὑμεῖς αὐτῷ ἐπιστεύσατε, ἢ Ἀριστοφάνης μου 158
so-then if you him had-believed or Aristophanes against-me
συγκατεψεύσατο, ἐπ' αἰσχραῖς αἰτίαις ἀπωλόμην ἄν.
had-joined-in-lying on shameful charges I-would-have-perished —
ἐάσετε οὖν τὸ τοιοῦτον αὑτοῦ προστρόπαιον, μὴ γὰρ
will-you-allow then the such of-himself pollution not for
δὴ τῆς πόλεώς γε, ἐν ὑμῖν ἀναστρέφεσθαι; καὶ τὴν
surely of-the city at-least among you to-go-about and the
μὲν ἐκκλησίαν καθαίρετε, ἐν δὲ τοῖς ψηφίσμασι διὰ
indeed assembly you-purify in but the decrees through
τούτου τὰς εὐχὰς ποιήσεσθε, καὶ στρατιὰν ἢ πεζὴν ἢ
him the prayers will-you-make and army either infantry or
ναυτικὴν ἐκπέμψετε; καὶ μὴν ὅ γε Ἡσίοδος λέγει,
naval will-you-send-out and truly — at-least Hesiod says

πολλάκι τοι ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
often truly a-whole city of-a-bad man reaps-the-harvest
ὅς κεν ἀλιτραίνῃ καὶ ἀτάσθαλα μηχανάαται.
who — sins and reckless-deeds devises

159 ἓν δὲ πρὸς τοῖς εἰρημένοις εἰπεῖν ἔτι βούλομαι.
one-thing and besides the things-said to-say further I-wish
εἰ γάρ πού τις ἔστι κακία κατ᾽ ἀνθρώπους, ἂν μὴ
if for anywhere some there-is vice among men if not
πρωτεύοντα περὶ ταύτην ἀποδείξω Δημοσθένην, θανάτου
holding-first-place in this I-prove Demosthenes of-death
τιμῶμαι. ἀλλ᾽ οἶμαι πολλὰ καὶ χαλεπὰ παρακολουθεῖ
I-propose-the-penalty but I-think many and hard-things attend
τῷ κρινομένῳ, καὶ μετακαλεῖ τὴν ψυχὴν ἀπὸ τῆς
the one-on-trial and calls-away the soul from the
ὀργῆς ὁ κίνδυνος ἐπὶ τοὺς ὑπὲρ τῆς σωτηρίας λόγους,
anger the danger to the for the safety arguments
καὶ διαλογισμὸν παρίστησι, μή τι παραλίπῃ τῶν
and anxious-reckoning it-presents lest something he-omit of-the
κατηγορημένων. ὥστε ἅμα μὲν ὑμᾶς, ἅμα δὲ ἐμαυτὸν
charges so at-once indeed you at-once and myself
εἰς ἀνάμνησιν τῶν κατηγορημένων ἀγαγεῖν βούλομαι.
into recollection of-the charges to-bring I-wish
160 σκοπεῖτε γὰρ δὴ καθ᾽ ἕκαστον, ὦ ἄνδρες Ἀθηναῖοι,
consider for now by each O men Athenians
ποῖον ἐγὼ ψήφισμα γράψας κρίνομαι, ἢ ποῖον νόμον
what I decree having-proposed am-on-trial or what law
λύσας, ἢ ποῖον γενέσθαι κωλύσας, ἢ τίνας ὑπὲρ
having-repealed or what to-be-passed having-prevented or what on-behalf-of
τῆς πόλεως συνθήκας ποιησάμενος, ἢ τί τῶν δεδογμένων
the city agreements having-made or what of-the things-resolved
περὶ τῆς εἰρήνης ἀπαλείψας, ἢ τί τῶν μὴ δοξάντων
about the peace having-erased or what of-the not resolved
ὑμῖν προσγράψας.
by-you having-added

οὐκ ἤρεσκέ τισι τῶν ῥητόρων ἡ εἰρήνη· ἔπειτα οὐ 161
not pleased some of-the orators the peace then not
τότε ἀντιλέγειν αὐτοὺς ἐχρῆν, ἀλλὰ μὴ νῦν ἐμὲ κρίνειν;
then to-speak-against them ought but not now me to-prosecute
ἐπλούτουν τινὲς ἐκ τοῦ πολέμου, ἀπὸ τῶν ὑμετέρων
were-getting-rich some from the war from the your
εἰσφορῶν καὶ τῶν δημοσίων προσόδων, νῦν δὲ πέπαυνται·
war-taxes and the public revenues now but they-have-stopped
εἰρήνη γὰρ ἀργίαν οὐ τρέφει· ἔπειτα οἱ μὲν οὐκ
peace for idleness not feeds then the-ones indeed not
ἀδικούμενοι, ἀλλ᾽ ἀδικοῦντες τὴν πόλιν, τιμωρήσονται
being-wronged but wronging the city will-punish
τὸν προστάντα τῆς εἰρήνης, οἱ ὠφελούμενοι τοὺς
the-one having-championed the peace the-ones being-benefited the
χρησίμους εἰς τὰ κοινὰ γενομένους ἐγκαταλείψετε;
useful to the public-affairs having-been will-you-abandon
συνῇδον γὰρ τοὺς παιᾶνας Φιλίππῳ, κατεσκαμμένων τῶν 162
I-joined-in-singing for the paeans with-Philip having-been-razed the
ἐν Φωκεῦσι πόλεων, ὥς φησιν ὁ κατήγορος. καὶ ποίῳ
among Phocians cities as says the accuser and by-what
δύναιτ᾽ ἄν τις τεκμηρίῳ τοῦτο σαφῶς ἐπιδεῖξαι; ἐκλήθην
could — anyone proof this clearly demonstrate I-was-invited
μὲν γὰρ ἐπὶ τὰ ξένια μετὰ τῶν συμπρέσβεων,
indeed for to the guest-entertainment with the fellow-envoys
ἦσαν δ᾽ οἱ κλητοὶ καὶ συνδειπνοῦντες σὺν ταῖς ἀπὸ
were and the-ones invited and dining-together with the from
τῶν Ἑλλήνων πρεσβείαις οὐκ ἐλάττους ἢ διακόσιοι. ἐν
the Greeks embassies not fewer than two-hundred among
δὲ τούτοις ὡς ἔοικεν ἐγὼ διαφανὴς ἦν οὐχ ὑποσιγῶν,
and these as it-seems I conspicuous was not keeping-quiet

ἀλλὰ συνᾴδων, ὥς φησι Δημοσθένης, οὔτ' αὐτὸς παρών,
but singing-along as says Demosthenes neither himself being-present
οὔτε τῶν ἐκεῖ παρόντων οὐδένα παρασχόμενος μάρτυρα.
nor of-the there present-ones anyone having-produced as-witness
163 καὶ τῷ δῆλος ἦν, εἰ μή γε ὥσπερ ἐν τοῖς
and by-what conspicuous was-I if not at-least as in the
χοροῖς προῇδον; οὐκοῦν εἰ μὲν ἐσίγων, ψευδῆ μου
choruses I-led-the-singing so-then if indeed I-was-silent false-things of-me
κατηγορεῖς· εἰ δὲ ὀρθῆς ἡμῖν τῆς πατρίδος οὔσης, καὶ
you-accuse if but upright for-us the fatherland being and
τῶν πολιτῶν κοινῇ μηδὲν ἀτυχούντων, συνῇδον
the citizens in-common in-nothing suffering-misfortune I-joined-in-singing
μετὰ τῶν ἄλλων πρέσβεων τὸν παιᾶνα, ἡνίκα ὁ θεὸς
with the other envoys the paean when the god
μὲν ἐτιμᾶτο, Ἀθηναῖοι δὲ μηδὲν ἠδόξουν, εὐσέβουν,
indeed was-being-honored Athenians and in-nothing were-disgraced I-was-pious
ἀλλ' οὐκ ἠδίκουν, καὶ δικαίως ἂν σῳζοίμην. ἔπειτα
but not I-was-doing-wrong and justly — I-would-be-acquitted then
ἐγὼ μὲν διὰ ταῦτα ἀνηλεής τις εἰμὶ ἄνθρωπος, σὺ
I indeed because-of these-things pitiless a am man you
δὲ εὐσεβὴς ὁ τῶν ὁμοσπόνδων καὶ συσσίτων κατήγορος;
but pious the of-the partners-in-libation and messmates accuser
164 ὠνείδισας δέ μοι καὶ πολιτείας ἐμπληξίαν, εἰ πεπρέσβευκα
you-reproached and me also of-policy inconsistency if I-have-gone-as-envoy
πρὸς Φίλιππον, πρότερον παρακαλῶν ἐπ' ἐκεῖνον τοὺς
to Philip earlier summoning against him the
Ἕλληνας. καίτοι ταύτην, εἰ βούλει, τὴν κατηγορίαν καὶ
Greeks and-yet this if you-wish the charge also
τῶν ἄλλων Ἀθηναίων δημοσίᾳ κατηγορήσεις. ἐπολεμεῖτε
of-the other Athenians publicly you-will-accuse you-were-at-war
Λακεδαιμονίοις, καὶ μετὰ τὴν ἐν Λεύκτροις συμφορὰν τοῖς
with-Lacedaemonians and after the at Leuctra disaster the

αὐτοῖς ἐβοηθεῖτε· κατηγάγετε εἰς τὴν πατρίδα φεύγοντας
same you-helped you-brought-back to the fatherland exiled
Θηβαίους, καὶ πάλιν τούτοις ἐμαχέσασθε ἐν Μαντινείᾳ·
Thebans and again them you-fought at Mantinea
ἐπολεμήσατε Ἐρετριεῦσι καὶ Θεμίσωνι, καὶ πάλιν αὐτοὺς
you-made-war with-Eretrians and Themison and again them
ἐσώσατε. καὶ μυρίοις ἄλλοις ἤδη τῶν Ἑλλήνων οὕτω
you-saved and countless others already of-the Greeks so
κέχρησθε· τοῖς γὰρ καιροῖς συμπεριφέρεσθαι ἀνάγκη
you-have-treated with-the for times to-move-along-with necessity
πρὸς τὸ κράτιστον καὶ τὸν ἄνδρα καὶ τὴν πόλιν.
toward the best both the man and the city
τὸν δὲ ἀγαθὸν σύμβουλον τί χρὴ ποιεῖν; οὐ τῇ πόλει 165
the and good counselor what must do not to-the city
πρὸς τὸ παρὸν τὰ βέλτιστα συμβουλεύειν; τὸν δὲ πονηρὸν
for the present the best to-advise the and wicked
κατήγορον τί; οὐ τοὺς καιροὺς ἀποκρυπτόμενον τῆς
accuser what not the circumstances concealing the
πράξεως κατηγορεῖν; τὸν δὲ ἐκ φύσεως προδότην πῶς
act to-accuse the and by nature traitor how
χρὴ θεωρεῖν; ἆρά γε οὐχ ὡς σὺ τοῖς ἐντυγχάνουσι
must one-regard — at-least not as you the-ones meeting-you
καὶ πιστεύσασι κέχρησαι, λόγους εἰς δικαστήρια γράφοντα
and having-trusted have-treated speeches for law-courts writing
μισθοῦ, τούτους ἐκφέρειν τοῖς ἀντιδίκοις; ἔγραψας λόγον
for-pay these to-disclose to-the opponents you-wrote a-speech
Φορμίωνι τῷ τραπεζίτῃ χρήματα λαβών· τοῦτον ἐξήνεγκας
for-Phormio the banker money having-taken this you-disclosed
Ἀπολλοδώρῳ τῷ περὶ τοῦ σώματος κρίνοντι Φορμίωνα.
to-Apollodorus the-one on the life prosecuting Phormio

166 εἰσῆλθες εἰς εὐδαιμονοῦσαν οἰκίαν τὴν Ἀριστάρχου τοῦ
you-entered into prosperous house the of-Aristarchus the
Μόσχου· ταύτην ἀπώλεσας. προὔλαβες τρία τάλαντα
of-Moschus this you-ruined you-took-in-advance three talents
παρ' Ἀριστάρχου φεύγοντος· τοῦτον τὰ τῆς φυγῆς ἐφόδια
from Aristarchus going-into-exile this-man the of-the exile travel-money
ἀπεστέρησας, οὐκ αἰσχυνθεὶς τὴν φήμην ἣν
you-robbed not having-been-ashamed-before the rumor which
προσεποιήσω, ζηλωτὴς εἶναι τῆς ἡλικίας τοῦ μειρακίου. οὐ
you-pretended an-admirer to-be of-the youth of-the lad not
γὰρ δὴ τῇ γε ἀληθείᾳ· οὐ γὰρ προσδέχεται δίκαιος ἔρως
for surely in-the at-least truth not for admits just love
πονηρίαν. ταῦτ' ἐστὶν ὁ προδότης καὶ τὰ τούτοις ὅμοια.
wickedness these-things is the traitor and the-things to-these like

XIV · SERVICE AND PEACE

Aeschines recalls his military service, as a frontier guard, at Nemea, at Mantinea, in Euboea, and at Tamynae, where he was crowned and brought home the news of victory. He traces Athens' history from Salamis and the walls the Persians razed: every peace with Sparta made the city strong, and every war that orators stirred up weakened it, down to the Four Hundred and the Thirty. After the restored democracy, men of the same kind again turn the city to war, and they now accuse him. They try him not as an envoy but as Philip's guarantor, and of ten envoys he alone is called to account. He asks the jurors to spare his father, brothers, in-laws, and children, calls on Eubulus, Phocion, Nausicles, and his friends to speak for him, and hands himself over to the jurors and to the law.

167 ἐμνήσθη δέ που περὶ στρατείας, καὶ καλὸν στρατιώτην
made-mention and somewhere of military-service and good soldier
ἐμὲ ὠνόμασεν. ἐγὼ δὲ οὐχ ἕνεκα τῆς τούτου βλασφημίας,
me he-named I but not for-the-sake-of the his abuse

ἀλλὰ τοῦ παρόντος κινδύνου προνοούμενος, καὶ περὶ
but the present danger taking-forethought and about
τούτων ἀνεπίφθονον λέγειν εἶναί μοι νομίζω· ποῦ γὰρ ἢ
these-things unexceptionable to-speak to-be for-me I-think where for or
πότε αὐτῶν ἢ πρὸς τίνας, παραλιπὼν τήνδε τὴν ἡμέραν,
when of-them or before whom having-passed-over this the day
μνησθήσομαι; ἐκ παίδων μὲν γὰρ ἀπαλλαγεὶς περίπολος
shall-I-make-mention from boys indeed for having-departed frontier-guard
τῆς χώρας ταύτης ἐγενόμην δύ' ἔτη, καὶ τούτων ὑμῖν τοὺς
of-the country this I-became two years and of-these to-you the
συνεφήβους καὶ τοὺς ἄρχοντας ἡμῶν μάρτυρας παρέξομαι·
fellow-cadets and the commanders our witnesses I-will-produce
πρώτην δ' ἐξελθὼν στρατείαν τὴν ἐν τοῖς μέρεσι 168
first and having-gone-out campaign the in the divisions
καλουμένην, καὶ συμπαραπέμπων μετὰ τῶν ἡλικιωτῶν καὶ
so-called and helping-escort with the age-mates and
τῶν Ἀλκιβιάδου ξένων τὴν εἰς Φλειοῦντα παραπομπήν,
the of-Alcibiades mercenaries the to Phlius convoy
κινδύνου συμβάντος ἡμῖν περὶ τὴν Νεμεάδα καλουμένην
danger having-occurred to-us near the Nemean so-called
χαράδραν, οὕτως ἠγωνισάμην, ὥστε ὑπὸ τῶν ἡγεμόνων
ravine so I-fought that by the commanders
ἐπαινεῖσθαι· καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους τὰς
to-be-praised and the other the by succession expeditions the
ἐν τοῖς ἐπωνύμοις καὶ τοῖς μέρεσιν ἐξῆλθον,
in the eponymous and the divisions I-went-out-on
καὶ τὴν ἐν Μαντινείᾳ μάχην συνεμαχεσάμην οὐκ αἰσχρῶς 169
and the at Mantinea battle I-fought-in not shamefully
οὐδ' ἀναξίως τῆς πόλεως, καὶ τὰς εἰς Εὔβοιαν στρατείας
nor unworthily of-the city and the to Euboea campaigns
ἐστρατευσάμην, καὶ τὴν ἐν Ταμύναις μάχην ἐν τοῖς
I-served-in and the at Tamynae battle among the

ἐπιλέκτοις οὕτως ἐκινδύνευσα, ὥστε κἀκεῖ στεφανωθῆναι
picked-men so I-ran-risks that both-there to-be-crowned
καὶ δεῦρο ἥκων πάλιν ὑπὸ τοῦ δήμου, τήν τε νίκην τῆς
and here having-come again by the people the both victory of-the
πόλεως ἀπαγγείλας, καὶ Τεμενίδου τοῦ τῆς Πανδιονίδος
city having-reported and Temenides the of-the Pandionis
ταξιάρχου καὶ συμπρεσβεύσαντος ἀπὸ στρατοπέδου μοι δευρὶ
taxiarch and having-gone-as-envoy-with from camp me hither
περὶ τὸν γενόμενον κίνδυνον οἷος ἦν ἀπαγγείλαντος.
about the having-occurred danger what-sort it-was having-reported
170 ὅτι δὲ ἀληθῆ λέγω, λαβέ μοι τοῦτο τὸ ψήφισμα, καὶ
that and true-things I-say take for-me this the decree and
κάλει τὸν Τεμενίδην καὶ τοὺς συνεστρατευμένους μοι τὰς
call — Temenides and the-ones having-campaigned-with me the
ὑπὲρ τῆς πόλεως στρατείας καὶ Φωκίωνα τὸν στρατηγόν,
for the city campaigns and Phocion the general
μήπω συνήγορον, ἂν τούτοις συνδοκῇ, ἀλλ' ὑπεύθυνον
not-yet as-advocate if to-these-men it-seems-good but answerable
τῷ συκοφάντῃ μάρτυρα, ἐὰν ψεύδηται.
to-the slanderer witness if he-lies
171 ἀγγείλας τοίνυν πρῶτος τὴν τῆς πόλεως νίκην ὑμῖν
having-reported then first the of-the city victory to-you
καὶ τὴν τῶν παίδων τῶν ὑμετέρων κατόρθωσιν, πρώτην
and the of-the sons the your success first
ταύτην ὑμᾶς ἀπαιτῶ χάριν, τὴν τοῦ σώματος σωτηρίαν, οὐ
this you I-ask-back favor the of-the person safety not
μισόδημος ὤν, ὥς φησιν ὁ κατήγορος, ἀλλὰ μισοπόνηρος,
a-hater-of-the-people being as says the accuser but a-hater-of-the-wicked
οὐδὲ τοὺς Δημοσθένους ὑμᾶς οὐκ ἐῶν προγόνους μιμεῖσθαι,
nor the of-Demosthenes you not allowing ancestors to-imitate
οὐ γὰρ εἰσίν, ἀλλὰ τῶν καλῶν καὶ τῇ πόλει σωτηρίων
not for they-exist but of-the noble and to-the city saving

βουλευμάτων ζηλωτὰς εἶναι παρακαλῶν. νῦν δ' αὐτὰ
counsels emulators to-be urging now and them
πόρρωθεν ἀρξάμενος μικρῷ δίειμι σαφέστερον.
from-far-back having-begun a-little I-will-go-through more-clearly
πρότερον ἡ πόλις ἡμῶν εὐδόξησε μετὰ τὴν ἐν Σαλαμῖνι 172
formerly the city our won-glory after the at Salamis
ναυμαχίαν, καὶ τῶν τειχῶν ὑπὸ τῶν βαρβάρων πεπτωκότων,
sea-battle and the walls by the barbarians having-fallen
εἰρήνης δ' ὑπαρχούσης πρὸς Λακεδαιμονίους, διέμεινεν ἡμῖν
peace and existing with Lacedaemonians remained for-us
τὸ τῆς δημοκρατίας πολίτευμα. συνταραχθέντες δὲ ὑπό
the of-the democracy constitution having-been-stirred-up but by
τινων, καὶ καταστάντες πρὸς Λακεδαιμονίους εἰς πόλεμον,
some and having-entered with Lacedaemonians into war
πολλὰ καὶ παθόντες κακὰ καὶ ποιήσαντες, Μιλτιάδου
many both having-suffered ills and having-done Miltiades
τοῦ Κίμωνος προκηρυκευσαμένου πρὸς Λακεδαιμονίους,
the of-Cimon having-opened-negotiations with Lacedaemonians
ὄντος προξένου, σπονδὰς πεντηκονταετεῖς ἐποιησάμεθα,
being proxenus a-truce fifty-year we-made
ἐχρησάμεθα δὲ ἔτη τριακαίδεκα.
we-enjoyed-it and years thirteen
ἐν δὲ τούτῳ τῷ χρόνῳ ἐτειχίσαμεν μὲν τὸν Πειραιᾶ 173
in and this the time we-fortified indeed the Piraeus
καὶ τὸ βόρειον τεῖχος ᾠκοδομήσαμεν, ἑκατὸν δὲ τριήρεις
and the northern wall built hundred and triremes
πρὸς ταῖς ὑπαρχούσαις ἐναυπηγησάμεθα, τριακοσίους δ'
besides the existing we-built three-hundred and
ἱππέας προσκατεσκευασάμεθα, καὶ τριακοσίους Σκύθας
cavalry we-equipped-besides and three-hundred Scythians
ἐπριάμεθα, καὶ τὴν δημοκρατίαν βεβαίως εἴχομεν.
bought and the democracy securely we-held

παρεμπεσόντων δ' εἰς τὴν πολιτείαν ἡμῶν οὐκ ἐλευθέρων
having-crept-in and into the commonwealth our not free
ἀνθρώπων καὶ τοῖς τρόποις οὐ μετρίων, πάλιν πρὸς
men and in-the manners not moderate again with
Λακεδαιμονίους δι' Αἰγινήτας εἰς πόλεμον κατέστημεν,
Lacedaemonians because-of Aeginetans into war we-entered
174 κἀνταῦθα οὐκ ὀλίγα βλαβέντες, τῆς μὲν εἰρήνης
and-then not few-things having-been-harmed the indeed peace
ἐπεθυμήσαμεν, Ἀνδοκίδην δ' ἐκπέμψαντες πρὸς τοὺς
we-desired Andocides and having-sent-out to the
Λακεδαιμονίους καὶ τοὺς συμπρέσβεις, εἰρήνην ἔτη
Lacedaemonians and the fellow-envoys peace years
τριάκοντα ἠγάγομεν, ἣ τὸν δῆμον ὑψηλὸν ἦρεν· χίλια
thirty we-concluded which the people high raised thousand
μὲν γὰρ τάλαντα ἀνηνέγκαμεν νομίσματος εἰς τὴν
indeed for talents we-carried-up of-coin to the
ἀκρόπολιν, ἑκατὸν δὲ τριήρεις ἑτέρας ἐναυπηγησάμεθα
acropolis hundred and triremes other we-built
καὶ νεωσοίκους ᾠκοδομήσαμεν, χιλίους δὲ καὶ διακοσίους
and ship-sheds we-built thousand and also two-hundred
ἱππέας κατεστήσαμεν καὶ τοξότας ἑτέρους τοσούτους, καὶ
cavalry we-established and archers other as-many and
τὸ μακρὸν τεῖχος τὸ νότιον ἐτειχίσθη, καὶ τὸν δῆμον
the long wall the southern was-built and the democracy
οὐδεὶς ἐνεχείρησε καταλῦσαι.
no-one attempted to-overthrow
175 πάλιν δὲ εἰς πόλεμον διὰ Μεγαρέας πεισθέντες
again and into war because-of Megarians having-been-persuaded
καταστῆναι, καὶ τὴν χώραν τμηθῆναι προέμενοι καὶ πολλῶν
to-enter and the country to-be-ravaged having-allowed and of-many
ἀγαθῶν στερηθέντες, εἰρήνης ἐδεήθημεν, καὶ ἐποιησάμεθα
goods having-been-deprived peace we-sought and made-it

διὰ Νικίου τοῦ Νικηράτου. καὶ πάλιν ἐν τῷ χρόνῳ τούτῳ
through Nicias the of-Niceratus and again in the time this
ἑπτακισχίλια τάλαντα ἀνηνέγκαμεν εἰς τὴν ἀκρόπολιν διὰ
seven-thousand talents we-carried-up to the acropolis because-of
τὴν εἰρήνην ταύτην, τριήρεις δ' ἐκτησάμεθα πλωίμους καὶ
the peace this triremes and we-acquired seaworthy and
ἐντελεῖς οὐκ ἐλάττους ἢ τριακοσίας, φόρος δ' ἡμῖν κατ'
fully-equipped not fewer than three-hundred tribute and to-us by
ἐνιαυτὸν προσῄει πλέον ἢ χίλια καὶ διακόσια τάλαντα,
year came-in more than thousand and two-hundred talents
καὶ Χερρόνησον καὶ Νάξον καὶ Εὔβοιαν εἴχομεν, πλείστας
and Chersonese and Naxos and Euboea we-held very-many
δ' ἀποικίας ἐν τοῖς χρόνοις τούτοις ἀπεστείλαμεν.
and colonies in the times these we-sent-out
καὶ τοσαῦτ' ἔχοντες τἀγαθά, πάλιν πόλεμον πρὸς 176
and so-many having the-good-things again war against
Λακεδαιμονίους ἐξηνέγκαμεν πεισθέντες ὑπ' Ἀργείων,
Lacedaemonians we-took-up having-been-persuaded by Argives
καὶ τελευτῶντες ἐκ τῆς τῶν ῥητόρων ἀψιμαχίας εἰς
and finally from the of-the orators skirmishing into
φρουρὰν τῆς πόλεως καὶ τοὺς τετρακοσίους καὶ τοὺς
a-garrison of-the city and the four-hundred and the
ἀσεβεῖς τριάκοντα ἐνεπέσομεν, οὐκ εἰρήνην ποιησάμενοι,
impious thirty we-fell not peace having-made
ἀλλ' ἐκ προσταγμάτων ἠναγκασμένοι. πάλιν δὲ σωφρόνως
but by orders having-been-compelled again but soberly
πολιτευθέντες, καὶ τοῦ δήμου κατελθόντος ἀπὸ Φυλῆς,
having-been-governed and the people having-returned from Phyle
Ἀρχίνου καὶ Θρασυβούλου προστάντων τοῦ δήμου, καὶ τὸ μὴ
Archinus and Thrasybulus having-led the people and the not

μνησικακεῖν πρὸς ἀλλήλους ἔνορκον ἡμῖν καταστησάντων,
to-bear-grudges toward one-another sworn for-us having-made
ὅθεν σοφωτάτην ἅπαντες τὴν πόλιν ἡγήσαντο εἶναι,
whence wisest all the city considered to-be
177 κἀνταῦθα ἀναφύντος τοῦ δήμου καὶ πάλιν ἐξ ἀρχῆς
and-then having-grown-up-again the people and again from beginning
ἰσχύσαντος, ἄνθρωποι παρέγγραπτοι γεγενημένοι πολῖται,
having-grown-strong men illegitimately-enrolled having-become citizens
καὶ τὸ νοσοῦν τῆς πόλεως ἀεὶ προσαγόμενοι, καὶ
and the sick-part of-the city always attaching-to-themselves and
πόλεμον ἐκ πολέμου πολιτευόμενοι, ἐν μὲν εἰρήνῃ
war out-of war making-their-policy in indeed peace
τὰ δεινὰ τῷ λόγῳ προορώμενοι, καὶ τὰς ψυχὰς τὰς
the dangers in-the speech foreseeing and the souls the
φιλοτίμους καὶ λίαν ὀξείας ἐρεθίζοντες, ἐν δὲ τοῖς πολέμοις
ambitious and too keen provoking in but the wars
ὅπλων οὐχ ἁπτόμενοι, ἐξεταστὰι δὲ καὶ ἀποστολεῖς
arms not touching inspectors but and commissioners
γιγνόμενοι, παιδοποιούμενοι δὲ ἐξ ἑταιρῶν, ἄτιμοι δ'
becoming begetting-children and from courtesans disfranchised and
ἐκ συκοφαντίας, εἰς τοὺς ἐσχάτους κινδύνους τὴν πόλιν
for slander into the extreme dangers the city
καθιστᾶσι, τὸ μὲν τῆς δημοκρατίας ὄνομα οὐ τοῖς ἤθεσιν,
they-bring the indeed of-the democracy name not with-the characters
ἀλλὰ τῇ κολακείᾳ θεραπεύοντες, καταλύοντες δὲ τὴν
but with-the flattery courting overthrowing but the
εἰρήνην, ἐξ ἧς ἡ δημοκρατία σῴζεται, συναγωνιζόμενοι
peace from which the democracy is-preserved joining-the-fight
δὲ τοῖς πολέμοις, ἐξ ὧν ὁ δῆμος καταλύεται.
and in-the wars from which the democracy is-overthrown

οὗτοι νῦν ἐπ᾽ ἐμὲ συστραφέντες ἥκουσι, καὶ φασὶ μὲν 178
these-men now against me having-banded-together have-come and say indeed
τὸν Φίλιππον τὴν εἰρήνην πρίασθαι, καὶ προλαβεῖν
— Philip the peace to-have-bought and to-have-gotten-the-advantage
ἡμῶν ἐν ταῖς συνθήκαις ἅπαντα, ἣν δ᾽ αὐτὸς εὗρεν
over-us in the agreements in-everything which and himself found
εἰρήνην αὑτῷ συμφέρουσαν, ταύτην παραβεβηκέναι. ἐμὲ
peace to-himself advantageous this to-have-broken me
δ᾽ οὐχ ὡς πρεσβευτὴν κρίνουσιν, ἀλλ᾽ ὡς ἐγγυητὴν
and not as envoy they-try but as guarantor
Φιλίππου καὶ τῆς εἰρήνης· καὶ τὸν τῶν λόγων κύριον
of-Philip and of-the peace and from-the of-the words master
τὰς τῶν ἔργων προσδοκίας ἀπαιτοῦσι. τὸν αὐτὸν δὲ
the of-the deeds expectations they-demand the same-man and
ἐν μὲν τοῖς ψηφίσμασιν ἐπαινέτην ἐπιδείκνυμι, ἐν δὲ
in indeed the decrees praiser I-show in but
τῷ δικαστηρίῳ κατηγόρῳ κέχρημαι. δέκατος δ᾽ αὐτὸς
the court as-accuser I-have-had tenth and myself
πρεσβεύσας, μόνος τὰς εὐθύνας δίδωμι.
having-been-envoy alone the account render
κἀμοὶ συνδεησόμενοι πάρεισιν ὑμῶν πατὴρ μέν, οὗ 179
and-for-me to-join-in-entreating are-present you father indeed whose
τὰς τοῦ γήρως ἐλπίδας μὴ ἀφέλησθε, ἀδελφοὶ δέ, οἳ
the of-the old-age hopes do-not take-away brothers and who
διαζυγέντες ἐμοῦ ζῆν οὐκ ἂν προέλοιντο, κηδεσταὶ δὲ
separated from-me to-live not — would-choose in-laws and
καὶ ταυτὶ τὰ μικρὰ παιδία καὶ τοὺς μὲν κινδύνους οὔπω
also these-here the little children and the indeed dangers not-yet
συνιέντα, ἐλεινὰ δέ, εἴ τι συμβήσεται ἡμῖν παθεῖν.
understanding pitiable but if anything shall-befall us to-suffer
ὑπὲρ ὧν ἐγὼ δέομαι καὶ ἱκετεύω πολλὴν πρόνοιαν
for whom I beg and implore much forethought

ποιήσασθαι, καὶ μὴ τοῖς ἐχθροῖς αὐτοὺς μηδ' ἀνάνδρῳ
to-take and not to-the enemies them nor to-an-unmanly
καὶ γυναικείῳ τὴν ὀργὴν ἀνθρώπῳ παραδοῦναι.
and womanish in-the temper man to-hand-over
180 παρακαλῶ δὲ καὶ ἱκετεύω σῶσαί με πρῶτον μὲν τοὺς θεούς,
I-call-on and also implore to-save me first indeed the gods
δεύτερον δ' ὑμᾶς τοὺς τῆς ψήφου κυρίους, οἷς ἐγὼ πρὸς
second and you the-ones of-the vote masters to-whom I to
ἕκαστον τῶν κατηγορημένων εἰς μνήμην εἶναι τὴν ἐμὴν
each of-the charges to memory to-be the my
ἀπολελόγημαι, καὶ δέομαι σῶσαί με καὶ μὴ τῷ λογογράφῳ
have-made-my-defense and I-beg to-save me and not to-the speech-writer
καὶ Σκύθῃ παραδοῦναι, ὅσοι μὲν ὑμῶν πατέρες εἰσὶ
and Scythian to-hand-over as-many-as indeed of-you fathers are
παίδων ἢ νεωτέρους ἀδελφοὺς περὶ πολλοῦ ποιεῖσθε,
of-children or younger brothers of much you-make
ἀναμνησθέντες, ὅτι τὴν τῆς σωφροσύνης παράκλησιν διὰ
having-remembered that the of-the temperance exhortation through
τῆς περὶ Τίμαρχον κρίσεως ἀειμνήστως παρακέκληκα,
the about Timarchus trial memorably I-have-made
181 τοὺς δ' ἄλλους ἅπαντας, οἷς ἐμαυτὸν ἄλυπον παρέσχημαι,
the and others all to-whom myself inoffensive I-have-shown
τὴν μὲν τύχην ἰδιώτης ὢν καὶ τοῖς μετρίοις ὑμῶν ὅμοιος,
in-the indeed fortune a-private-man being and to-the moderate of-you like
ἐν δὲ τοῖς πολιτικοῖς ἀγῶσι μόνος τῶν ἄλλων ἐφ' ὑμᾶς οὐ
in but the political contests alone of-the others against you not
συνεστηκώς, αἰτῶ παρ' ὑμῶν τὴν σωτηρίαν, μετὰ πάσης
having-banded-together I-ask from you the safety with all
εὐνοίας τῇ πόλει πεπρεσβευκώς, καὶ μόνος ὑπομείνας
goodwill to-the city having-served-as-envoy and alone having-withstood
τὸν τῶν συκοφαντῶν θόρυβον, ὃν ἤδη πολλοὶ τῶν
the of-the slanderers clamor which already many of-the-ones

τὰς ψυχὰς ἐν τοῖς πολέμοις λαμπρῶν οὐχ ὑπέστησαν. οὐ
in-the souls in the wars brilliant not withstood not
γὰρ ὁ θάνατος δεινόν, ἀλλ᾽ ἡ περὶ τὴν τελευτὴν ὕβρις.
for the death terrible but the at the end outrage
πῶς δὲ οὐκ οἰκτρὸν ἰδεῖν ἐχθροῦ πρόσωπον ἐπεγγελῶντος, 182
how and not pitiable to-see of-an-enemy face mocking
καὶ τοῖς ὠσὶ τῶν ὀνειδῶν ἀκοῦσαι; ἀλλ᾽ ὅμως τετόλμηται·
and with-the ears the reproaches to-hear but nevertheless it-has-been-dared
δέδοται τὸ σῶμα τῷ κινδύνῳ. παρ᾽ ὑμῖν ἐτράφην, ἐν
has-been-given the person to-the danger among you I-was-reared in
ταῖς ὑμετέραις διατριβαῖς βεβίωκα. οὐδεὶς ὑμῶν διὰ
the your ways I-have-lived no-one of-you because-of
τὰς ἐμὰς ἡδονὰς κάκιον οἰκεῖ, οὐδὲ ἐστέρηται τῆς
the my pleasures worse lives nor has-been-deprived of-the
πατρίδος κατηγόρου τυχών, ὅτ᾽ ἦσαν αἱ διαψηφίσεις,
fatherland an-accuser having-met when were the revisions-of-the-roll
οὐδ᾽ ὑπεύθυνος ὢν ἀρχῆς ἐκινδύνευσεν.
nor accountable being for-an-office was-endangered
μικρὰ δ᾽ ἔτι εἰπὼν ἤδη καταβαίνω. ἐγὼ γάρ, ὦ 183
a-few-things and more having-said now I-step-down I for O
ἄνδρες Ἀθηναῖοι, τοῦ μὲν μηδὲν ἀδικεῖν ὑμᾶς κύριος
men Athenians of-the indeed in-nothing to-wrong you master
ἦν, τοῦ δὲ μὴ ἔχειν αἰτίαν ἡ τύχη, ἣ συνεκλήρωσέ
was of-the but not to-have blame the fortune which allotted
με ἀνθρώπῳ συκοφάντῃ καὶ βαρβάρῳ, ὃς οὔτε ἱερῶν
me with-a-man slanderer and barbarian who neither of-rites
οὔτε σπονδῶν οὔτε τραπέζης φροντίσας, ἀλλὰ τοὺς εἰς
nor of-libations nor of-table having-regarded but the-ones for
τὸν μέλλοντα αὑτῷ χρόνον ἀντεροῦντας ἐκφοβῶν,
the coming for-himself time going-to-speak-against frightening
ἥκει ψευδῆ συντάξας καθ᾽ ἡμῶν κατηγορίαν. ἐὰν οὖν
has-come false having-composed against us an-accusation if then

ἐθελήσητε σῴζειν τοὺς τῆς εἰρήνης καὶ τῆς ὑμετέρας
you-are-willing to-save the of-the peace and the your
ἀδείας συναγωνιστάς, πολλοὺς βοηθοὺς λήψεται τὸ τῆς
security fellow-champions many helpers will-get the of-the
πόλεως συμφέρον καὶ κινδυνεύειν ὑπὲρ ὑμῶν ἑτοίμους.
city advantage and to-run-risks for you ready
184 παρακαλῶ δὲ Εὔβουλον μὲν ἐκ τῶν πολιτικῶν καὶ
I-call-on and Eubulus indeed from the statesmanlike and
σωφρόνων ἀνδρῶν συνήγορον, Φωκίωνα δ' ἐκ τῶν
temperate men as-advocate Phocion and from the
στρατηγῶν, ἅμα δὲ καὶ δικαιοσύνῃ διενηνοχότα
generals at-the-same-time and also in-justice having-surpassed
πάντων, ἐκ δὲ τῶν φίλων καὶ τῶν ἡλικιωτῶν τῶν
all from and the friends and the age-mates the
ἐμαυτοῦ Ναυσικλέα καὶ τοὺς ἄλλους ἅπαντας, οἷστισιν
my-own Nausicles and the others all with-whom
ἐγὼ κέχρημαι καὶ τῶν αὐτῶν ἐπιτηδευμάτων μετέσχηκα.
I have-associated and the same pursuits have-shared
ὁ μὲν οὖν ἐμὸς λόγος εἴρηται, τὸ δὲ σῶμα ἤδη τουτὶ
the indeed then my speech has-been-spoken the and person now this-here
παραδίδωσιν ὑμῖν καὶ ἐγὼ καὶ ὁ νόμος.
hands-over to-you both I and the law
